ἑκατέρα μέν, ἐναντίως δέ. ἡ μὲν γὰρ πρώτη, τὴν ἔξω φοινικῆν
ἔχει· ἀπὸ μεγίστης γὰρ περιφερείας πλείστη προσπίπτει ἡ ὄψις πρὸς
τὸν ἥλιον. μεγίστη δ' ἡ ἔξω. ἡ δ' ἐχομένη, καὶ ἡ τρίτη, ἀνάλογον. ὥσ-
τ' εἰ τὰ περὶ τῶν χρωμάτων τῆς φαντασίας εἴρηται καλῶς, ἀνάγκη
τρίχρων τε εἶναι αὐτήν, καὶ τούτοις τοῖς χρώμασι κεχρῶσθαι μόνοις.
τὸ δὲ ξανθὸν φαίνεται, διὰ τὸ παράλληλα φαίνεσθαι. τὸ γὰρ φοινι-
κοῦν παρὰ τὸ πράσινον, λευκὸν φαίνεται. σημεῖον δὲ τούτου· ἐν
γὰρ τῷ μελαντάτῳ νέφει μάλιστα ἄκρατος γίνεται ἶρις. συμ-
βαίνει δὲ τότε ξανθότερον εἶναι δοκεῖν τὸ φοινικοῦν. ἔστι δὲ τὸ ξανθὸν
ἐν τῇ ἴριδι χρῶμα μεταξὺ τοῦ τε φοινικοῦ καὶ πρασίνου χρώματος.
διὰ τὴν μελανίαν οὖν τοῦ κύκλῳ νέφους, ὅλον αὐτοῦ φαίνεται τὸ
φοινικοῦν, λευκόν· ἔστι γὰρ πρὸς ἐκεῖνα λευκόν. καὶ πάλιν ἀπομαραι-
νομένης τῆς ἴριδος ἐγγυτάτω ὅταν λύηται τὸ φοινικοῦν. ἡ γὰρ νεφέλη
λευκὴ οὖσα, προσπίπτουσα παρὰ τὸ πράσινον, μεταπίπτει εἰς τὸ ξαν-
θόν. μέγιστον δὲ σημεῖον τούτων, ἡ ἀπὸ τῆς σελήνης ἶρις. φαίνεται γὰρ λευ-
κὴ πάμπαν. γίνεται δὲ τοῦτο, ὅτι ἔν τε τῷ νέφει ζοφερῷ ὄντι φαίνεται,
καὶ ἐν νυκτί. ὥσπερ οὖν πῦρ ἐπὶ πυρί, ἐν μέλανι παρὰ μέλαν, ποιεῖ
τὸ ἠρέμα λευκὸν πάμπαν φαίνεσθαι λευκόν. τοῦτο δ' ἐστὶ τὸ φοινικοῦν.
γίνεται δὲ καὶ τοῦτο πάθος καταφανὲς καὶ ἐπὶ τῶν ἀνθῶν. ἐν γὰρ τοῖς ὑφά-
σμασι καὶ ποικίλμασιν ἀμύθητον διαφέρει τῇ φαντασίᾳ, ἄλλα
παρ' ἄλλα τιθέμενα ἔνια τῶν χρωμάτων· οἷον καὶ τὰ πορφυρᾶ ἐν λευκοῖς ἢ μέ-
λασιν ἐρίοις. ἔτι δ' ἐν αὐγῇ τοιαδὶ ἢ τοιαδί. διὸ καὶ οἱ ποικιλταί
φασι διαμαρτάνειν ἐργαζόμενοι πρὸς τὸν λύχνον πολλάκις τῶν ἀνθῶν,
καὶ λανθάνειν λαμβάνοντες ἕτερα ἀντὶ ἑτέρων. διότι μὲν οὖν τρίχρως τε,
καὶ ὅτι ἐκ τούτων φαίνεται τῶν χρωμάτων μόνων ἡ ἶρις, εἴρηται. διπλῆ δὲ καὶ
ἀμαυροτέρα τοῖς χρώμασιν ἡ περιέχουσα, καὶ τῇ θέσει τὰς χρό-
ας ἐξ ἐναντίας ἔχει κειμένας, διὰ τὴν αὐτὴν αἰτίαν. μακροτέρα γὰρ ἀπο-
τεινομένη ἡ ὄψις, ὥσπερ τὸ πορρώτερον ὁρᾷ, καὶ τὸ ἐνταῦθα τὸν αὐ-
τὸν τρόπον. ἀσθενεστέρα οὖν ἀπὸ τῆς ἄνωθεν ἀνάκλασις γίνεται διὰ τὸ
πορρώτερον ποιεῖσθαι τὴν ἀνάκλασιν. ὥστε ἐλάττων προσ-
πίπτουσα

[Marginal notes, in hand: ξανθὸν ἐν τῇ ἴριδι χρῶμα μεταξὺ τοῦ φοινικοῦ καὶ πρασίνου — Arcus lunæ albus — ποικιλταί plumarii — alcyonius (?) — [illegible] — [illegible]]



προσπίπτουσα, τὰ χρώματα ποιεῖ ἀμαυρότερα φαίνεσθαι. καὶ ἀντε-
στραμμένως δὴ διὰ τὸ πλεῖον ἀπὸ τῆς ἐλάττονος καὶ τῆς ἐντὸς περι-
φερείας προσπίπτειν πρὸς τὸν ἥλιον. ἐγγυτέρω γὰρ τῆς ὄψεως οὖσα
ἀνακλᾶται ἀπὸ τῆς ἐγγυτάτω περιφερείας τῆς πρώτης ἴριδος. ἐγ-
γυτάτω δ' ἐν τῇ ἔξωθεν ἴριδι, ἡ ἐλαχίστη περιφέρεια. ὥστε αὕτη
ἕξει τὸ χρῶμα φοινικοῦν. ἡ δ' ἐχομένη καὶ ἡ τρίτη κατὰ λόγον. ἡ ἔξω ἶρις
ἐφ' ᾧ τὸ β. ἡ ἔσω ἡ πρώτη, ἐφ' ᾧ τὸ α. τὰ χρώματα δ' ἐφ' ᾧ τὸ γ, φοι-
νικοῦν. ἐφ' ᾧ τὸ δ, πράσινον. ἐφ' ᾧ ε, ἁλουργόν. τὸ ξανθὸν δὲ φαίνεται ἐφ'
οὗ τὸ ζ. τρεῖς δ' οὐκέτι γίνονται, οὐδὲ πλείους ἴριδες, διὰ τὸ καὶ τὴν δευτέραν
γίνεσθαι ἀμαυροτέραν. ὥστε καὶ τὴν τρίτην ἀνάκλασιν, πάμπαν
ἀσθενῆ γίνεσθαι, καὶ ἀδύνατον ἀφικνεῖσθαι πρὸς τὸν ἥλιον. ὅτι δ' οὔτε
κύκλον οἷόν τε γίνεσθαι τὴν ἴριδος, οὔτε μεῖζον ἡμικυκλίου τμῆμα, καὶ
περὶ τῶν ἄλλων τῶν συμβαινόντων περὶ αὐτήν, ἐκ τοῦ διαγράμματος
ἔσται θεωροῦσι δῆλον. ἡμισφαιρίου γὰρ ὄντος ἐπὶ τοῦ ὁρίζοντος κύκλου
τοῦ ἐφ' ᾧ τὸ α. κέντρου δὲ τοῦ κ. ἄλλου δέ τινος ἀνατέλλοντος ση-
μείου ἐφ' ᾧ τὸ η, ἐὰν αἱ ἀπὸ τοῦ κ γραμμαὶ κατὰ κῶνον ἐκπίπτουσαι ποιῶ-
σιν ὡς περὶ ἄξονα τὴν ἐφ' ἧς ἡ ηκ, καὶ ἀπὸ τοῦ κ ἐπὶ τὸ μ ἐπιζευχ-
θεῖσαι ἀνακλασθῶσιν ἀπὸ τοῦ ἡμισφαιρίου ἐπὶ τὸ η ἐπὶ τὴν μείζω
γωνίαν, πρὸς τοῦ κύκλου περιφέρειαν προσπεσοῦνται αἱ ἀπὸ τοῦ κ.
καὶ ἐὰν μὲν ἐπ' ἀνατολῆς ἢ ἐπὶ δύσεως τοῦ ἄστρου ἡ ἀνάκλασις γένηται,
ἡμικύκλιον ἀπολειφθήσεται, τοῦ κύκλου ὑπὸ τοῦ ὁρίζοντος τὸ ὑ-
πὲρ γῆν γινόμενον. ἐὰν δ' ἐπάνω, ἔλαττον ἀεὶ ἡμικυκλίου. ἐλά-
χιστον δ' ὅταν ἐπὶ τοῦ μεσημβρινοῦ γένηται τὸ ἄστρον. ἔστω γὰρ ἐπ' ἀνα-
τολῆς πρῶτον οὗ τὸ η. καὶ ἀνακεκλάσθω ἡ κμ ἐπὶ τὸ η, καὶ τὸ ἐπίπε-
δον ἐκβεβλήσθω ἐν ᾧ τὸ α, τὸ ἀπὸ τοῦ τριγώνου ἐν ᾧ τὸ ηκμ. κύκλ-
ου, ἡ τομὴ ἔσται τῆς σφαίρας ὁ μέγιστος. ἔστω, ὁ ἐφ' ᾧ α. διοίσει γὰρ
οὐθέν, ἂν ὁποιονοῦν τῶν ἐπὶ τῆς ηκ κατὰ τὸ τρίγωνον τὸ κμη, ἐκ-
βληθῇ τὸ ἐπίπεδον. αἱ οὖν ἀπὸ τῶν η κ ἀγόμεναι γραμμαὶ ἐν
τούτῳ τῷ λόγῳ οὐ συσταθήσονται τοῦ ἐφ' ᾧ α ἡμικυκλίου πρὸς ἄλλο
καὶ ἄλλο σημεῖον. ἐπεὶ γὰρ τά τε η κ σημεῖα δέδοται, καὶ ἡ ηκ, δεδο-

μέρη ἂν εἴη, ᾗ ἡ ΜΗ. ὥστε ὁ λόγος τῆς ΜΗ πρὸς ΜΚ. δεδομένης οὖν περιφερείας ἐφάψεται τὸ Μ. ἔστω δὴ αὕτη ἐφ' ἧς τὰ ΝΜ. ὥστε ἡ τομὴ τῶν περιφερειῶν δέδοται. πρὸς ἄλλο δέ γε τῆς ΜΝ περιφερείας ἀπὸ τῶν αὐτῶν σημείων ὁ αὐτὸς λόγος ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὐ συνίσταται. ἐκκείσθω οὖν τις γραμμὴ ἡ ΔΒ. ἡ τετμήσθω ὡς ἡ ΜΗ πρὸς ΜΚ, ἡ Δ πρὸς τὸ Β. μείζων δὲ ἡ ΜΗ τῆς ΜΚ. ἐπείπερ ἐπὶ τὴν μείζω γωνίαν ἡ ἀνάκλασις τοῦ κώνου. ὑπὸ γὰρ μείζω γωνίαν ὑποτείνει τῆς τοῦ ΜΚΗ τριγώνου. μείζων ἄρα καὶ ἡ Δ τῆς Β. προσκείσθω οὖν πρὸς τὴν Β ἐφ' ᾗ τὸ Ζ. ὥστε εἶναι ὅπερ τὴν Δ πρὸς τὴν Β, Ζ πρὸς τὴν Δ. εἶτα ὅπερ ἡ Ζ πρὸς τὴν ΚΗ, τὸ Β πρὸς ἄλλην πεποιήσθω τὴν ΚΠ. καὶ ἀπὸ τοῦ Π ἐπὶ τὸ Μ ἐπεζεύχθω ἡ τὸ ΠΜ. ἔσται οὖν τὸ Π πόλος τοῦ κύκλου. πρὸς ὃν αἱ ἀπὸ τοῦ Κ γραμμαὶ προσπίπτουσιν. ἔσται γὰρ ὅπερ ἡ Ζ πρὸς τὴν ΚΗ, καὶ ἡ Β πρὸς τὴν ΚΠ καὶ ἡ Δ πρὸς τὴν ΠΜ. μὴ γὰρ ἔστω. ἀλλ' ἢ πρὸς ἐλάττω ἢ πρὸς μείζω τῆς ΠΜ. οὐθὲν γὰρ διοίσει. ἔστω γὰρ πρὸς τὴν ΠΡ. τὸν αὐτὸν ἄρα λόγον αἱ ΗΚ, ΚΠ, καὶ ἡ ΠΡ πρὸς ἀλλήλας ἕξουσιν, ὅνπερ αἱ Ζ, Β, Δ. αἱ δὲ Ζ, Β, Δ ἀνάλογον ἦσαν. ὅπερ ἡ Δ πρὸς Β, ἡ Ζ πρὸς Δ. ὥστε ὅπερ ἡ ΠΗ πρὸς τὴν ΠΡ, ἡ τὸ ΠΡ πρὸς τὴν ΠΚ. ἂν οὖν ἀπὸ τῶν Κ Η καὶ ΗΡ καὶ ΚΡ ἐπὶ τὸ Ρ ἐπιζευχθῶσιν, αἱ ἐπιζευχθεῖσαι αὗται τὸν αὐτὸν ἕξουσι λόγον, ὅνπερ αἱ ΗΠ πρὸς τὴν ΠΡ. ἐπειδὴ γὰρ τὴν αὐτὴν γωνίαν τὴν Π, ἀνάλογον αἱ περὶ τὴν Π ἐν τριγώνῳ καὶ τοῦ ΚΡΠ. ὥστε καὶ ἡ ΗΡ πρὸς τὴν ΚΡ τὸν αὐτὸν ἕξει λόγον ὃν καὶ ἡ τὸ ΗΠ πρὸς ΠΡ. ἔχει δὲ καὶ ἡ ΜΗ πρὸς ΜΚ τὸν αὐτὸν λόγον, ὅνπερ ἡ τὸ Δ πρὸς τὸ Β ἀμφότεροι. ὥστε ἀπὸ τῶν ΗΚ σημείων οὐ μόνον πρὸς τὴν ΜΝ περιφέρειαν συσταθήσονται τὸν αὐτὸν ἔχουσαι λόγον. ἀλλὰ καὶ ἄλλοθι. ὅπερ ἀδύνατον. ἐπεὶ οὖν ἡ Δ οὔτε πρὸς ἐλάττω τῆς ΠΜ οὔτε πρὸς μείζω. ὁμοίως γὰρ δείξομεν. δῆλον ὅτι πρὸς αὐτὴν ἂν εἴη τὴν ἐφ' ἧς ΠΜ. ὥστε ἔσται ὅπερ ἡ ΜΠ πρὸς τὴν ΠΚ, ἡ τὸ ΠΗ πρὸς ΜΠ. καὶ λοιπὴ ἡ τὸ ΜΗ πρὸς τὴν ΜΚ. ἂν οὖν τῷ ἐφ' ᾧ Π πόλῳ χρώμενοι, διαστήματι δὲ τῷ ἐφ' ᾧ ΠΜ, κύκλος γραφῇ, ἁπασῶν ἐφάψεται τῶν γωνιῶν ἃς ἀνακλώμεναι ποιοῦσιν αἱ

ἀπὸ τοῦ



ἀπὸ τῶν ΚΗ. εἰ δὲ μή, ὁμοίως δειχθήσονται τὸν αὐτὸν ἔχουσαι λόγον αἱ ἄλλοθι τοῦ ἡμικυκλίου συνιστάμεναι. ὅπερ ἦν ἀδύνατον. ἂν οὖν περιαχθῇ τὸ ἡμικύκλιον τὸ ἐφ' ᾧ τὸ Α, περὶ τὴν ἐφ' ἧς ΚΗ διάμετρον, αἱ ἀπὸ τῶν ΗΚ ἀνακλώμεναι πρὸς τὸ ἐφ' ᾧ τὸ Μ, ἐν πᾶσι τοῖς ἐπιπέδοις ὁμοίως ἕξουσι. καὶ ἴσην ποιήσουσι γωνίαν τὴν ΚΜΗ. καὶ ἣν ποιοῦσι δὲ γωνίαν αἱ ΚΠ καὶ ΠΜ ἐπὶ τῆς ΗΠ, ἀεὶ ἴση ἔσται. τρίγωνα οὖν ἐπὶ τῆς ΗΠ, καὶ ΚΠ, ἴσα τῷ ΗΜΠ ΚΜΠ, συνεστήκασι. τούτων δὲ αἱ κάθετοι ἐπὶ τὸ αὐτὸ σημεῖον πεσοῦνται τῆς ΗΠ. καὶ ἴσαι ἔσονται. πιπτέτωσαν ἐπὶ τὸ Ο. κέντρον ἄρα τοῦ κύκλου τὸ Ο. ἡμικύκλιον δὲ τὸ περὶ τὴν ΜΝ ἀφῄρηται ἀπὸ τοῦ ὁρίζοντος. πάλιν ἔστω ὁ ὁρίζων μέν, ἐφ' οὗ τὸ ΑΒΓ. ἐπαναστελλέτω δὲ τὸ Η. ὁ δὲ ἄξων ἔστω νῦν, ἐφ' ᾧ τὸ ΗΠ, τὰ μὲν οὖν ἄλλα πάντα ὁμοίως δειχθήσεται ὡς καὶ πρότερον. ὁ δὲ πόλος τοῦ κύκλου ὁ ἐφ' ᾧ Π, κάτω ἔσται τοῦ ὁρίζοντος τοῦ ἐφ' ᾧ τὸ ΑΓ. ἀρθέντος τοῦ ἐφ' ᾧ τὸ Η σημείου. ἐπὶ δὲ τῆς αὐτῆς ὅ τε πόλος καὶ τὸ κέντρον τοῦ κύκλου. καὶ τὸ τοῦ ὁρίζοντος νῦν τὴν ἀνατολὴν ὁρίζοντος οὗτος, ἐφ' ᾧ τὸ ΗΠ. ἐπεὶ δὲ τῆς διαμέτρου τῆς ΑΓ τὸ ΚΗ ἐπάνω, τὸ κέντρον εἴη ἂν ὑπὸ κάτω τοῦ ὁρίζοντος πρότερον, τοῦ ἐφ' ᾧ τὸ ΑΓ, ἐπὶ τῆς ΚΠ γραμμῆς, ἐφ' οὗ τὸ Ο. ὥστε ἔλαττον ἔσται τὸ ἐπάνω τμῆμα ἡμικυκλίου τὸ ἐφ' ᾧ ΨΥΩ. τὸ γὰρ ΨΥΩ ἡμικύκλιον ἦν. νῦν δ' ἀποτέτμηται ἀπὸ τοῦ ΑΓ ὁρίζοντος. τὸ δὴ ΥΩ ἀφανὲς ἔσται ἐπαρθέντος αὐτοῦ τοῦ ἡλίου ἐπεὶ ἐλάχιστον ὅταν ἐπὶ μεσημβρίαν ὅσῳ γὰρ ἀνώτερον τὸ Η, κατωτέρω ὅ τε πόλος ἐστὶ καὶ τὸ κέντρον τοῦ κύκλου ἔσται. ὅτι δ' ἐν μὲν ταῖς ἐλάττοσιν ἡμέραις ταῖς μετὰ ἰσημερίαν μετοπωρινὴν ἐνδέχεται ἀεὶ γίνεσθαι ἶριν, ἐν δὲ ταῖς μακροτέραις ἡμέραις ταῖς ἀπὸ ἰσημερίας ἐπὶ τὴν ἑτέραν ἰσημερίαν περὶ μεσημβρίαν οὐ γίγνεται, αἴτιον ὅτι τὰ μὲν πρὸς ἄρκτον τμήματα πάντα, μείζω ἡμικυκλίου ἐστὶ καὶ ἀεὶ μείζω. τὸ δ' ἀφανές, μικρόν. τὰ δὲ πρὸς μεσημβρίαν τμή-

Quo tempore fiat iris & qua hora diei

ματα τοῦ ἰσημερινοῦ, τὸ μὲν ἄνω τμῆμα, μικρόν· τὸ δ' ὑπὸ γῆν, μέγα· καὶ ἀεὶ δὴ τὰ προσωτέρω μείζω. ὥστ' ἐν μὲν ταῖς πρὸς θερινὰς τροπὰς ἡμέραις διὰ τὸ μέγεθος πρὶν ἐπὶ τὸ μέσον ἐλθεῖν τοῦ τμήματος καὶ ἐπὶ τὸ μεσημβρινὸν τὴν τὸ Η, κάτω πάμπαν τελέως γίνεται τὸ Π· διὰ τὸ πόρρω ἀφεστάναι τῆς γῆς τὴν μεσημβρίαν διὰ τὸ μέγεθος τοῦ τμήματος. ἐν δὲ ταῖς πρὸς τὰς χειμερινὰς τροπὰς ἡμέραις, διὰ τὸ μὴ πολὺ ὑπὲρ γῆς εἶναι τὰ τμήματα τῶν κύκλων, τοὐναντίον ἀναγκαῖον γίνεσθαι· βραχὺ γὰρ ἀρθείσης τῆς ἐφ' ᾧ τὸ Η, ἐπὶ τῆς μεσημβρίας γίνεται ὁ ἥλιος. Τὰς δὲ αὐτὰς αἰτίας ὑποληπτέον καὶ περὶ παρηλίου καὶ ῥάβδων, ταῖς εἰρημέναις. γίνεται γὰρ παρήλιος μέν, ἀνακλωμένης τῆς ὄψεως πρὸς τὸν ἥλιον· ἀπό τινος ῥαβδοειδές, διὰ τὸ πρότερον εἰρημένον τοιαύτην οὖσαν τὴν ὄψιν. οἷον εἴπομεν ἀεὶ γίγνεσθαι, ὅταν πλησίον ὄντων τοῦ ἡλίου νεφῶν, ἀπό τινος ἀνακλασθῇ τῶν ὑγρῶν πρὸς τὸ νέφος. φαίνεται γὰρ αὐτὰ μὲν ἀχρωμάτιστα τὰ νέφη, κατ' εὐθυωρίαν εἰσβλέπουσιν· ἐν δὲ τῷ ὕδατι, ῥάβδων μεστὸν τὸ νέφος. πλὴν ἐκεῖ μὲν ἐν τῷ ὕδατι δοκεῖ τὸ χρῶμα τοῦ νέφους εἶναι· ἐν δὲ ταῖς ῥάβδοις, ἐπ' αὐτοῦ τοῦ νέφους. γίνεται δὲ τοῦτο, ὅταν ἀνώμαλος ἡ τοῦ νέφους ᾖ σύστασις· καὶ τῇ μὲν, πυκνή· τῇ δέ, μανή· καὶ τῇ μὲν ὑδατωδεστέρα· τῇ δ' ἧττον. ἀνακλασθείσης γὰρ τῆς ὄψεως πρὸς τὸν ἥλιον, τὸ σχῆμα μὲν τοῦ ἡλίου οὐχ ὁρᾶται διὰ τὴν σμικρότητα τῶν ἐνόπτρων· τὸ δὲ χρῶμα διὰ τὸ ἐν ἀνωμάλῳ φαίνεσθαι λαμπροῦ καὶ λευκοῦ τοῦ ἡλίου· πρὸς ὃν ἀνεκλάσθη ἡ ὄψις, τὸ μὲν φοινικοῦν φαίνεται· τὸ δὲ πράσινον ἢ ξανθόν. διαφέρει γὰρ οὐθέν, διὰ τοιούτων ὁρᾶν ἢ ἀπὸ τοιούτων ἀνακλωμένην. ἀμφοτέρως γὰρ φαίνεται τὴν χρόαν ὅμοια· ὥστ' εἰ κἀκεῖ φοινικοῦν, καὶ οὕτως. αἱ μὲν οὖν ῥάβδοι γίνονται διὰ τὴν ἀνωμαλίαν τοῦ ἐνόπτρου οὐ τῷ σχήματι, ἀλλὰ τῷ χρώματι. ὁ δὲ παρήλιος, ὅταν ὅτι μάλιστα ὁμαλὸς ᾖ ὁ ἀὴρ καὶ πυκνὸς ὁμοίως· διὸ φαίνεται λευκός. ἡ μὲν γὰρ ὁμαλότης τοῦ ἐνόπτρου, ποιεῖ χρόαν μίαν τῆς ἐμφάσεως. ἡ δ' ἐν ἀκλάσει ἀθρόας τῆς ὄψεως· διὰ τὸ ἅμα προσπίπτειν πρὸς τὸν ἥλιον ἀπὸ

De parelio & uirgis



πυκνῆς οὔσης τῆς ἀχλύος καὶ οὔπω μὲν οὔσης ὕδωρ, ἐγγὺς δ' ὕδατος, τὸ ὑπάρχον τῷ ἡλίῳ ἐμφαίνεσθαι χρῶμα, ποιεῖ ὥσπερ ἀπὸ χαλκοῦ λείου κλωμένης διὰ τὴν πυκνότητα. ὥστ' ἐπεὶ τὸ χρῶμα τοῦ ἡλίου λευκόν, καὶ ὁ παρήλιος φαίνεται λευκός. διὰ δὲ τὸ αὐτὸ τοῦτο μᾶλλον ὕδατος σημεῖον ὁ παρήλιος τῶν ῥάβδων. μᾶλλον γὰρ σημαίνει τὸν ἀέρα εὐτρεπῶς ἔχειν πρὸς γένεσιν ὕδατος. ὁ δὲ νότιος, οὐ βορείου μᾶλλον· ὅτι μᾶλλον ὁ νότιος ἀὴρ εἰς ὕδωρ μεταβάλλει τοῦ βορείου. γίνονται δ' ὥσπερ εἴπομεν περί τε δυσμὰς καὶ περὶ τὰς ἀνατολάς· καὶ οὔτ' ἄνωθεν οὔτε κάτωθεν· ἀλλ' ἐκ τῶν πλαγίων αἱ ῥάβδοι καὶ παρήλιοι· καὶ οὔτ' ἐγγὺς τοῦ ἡλίου λίαν, οὔτε πόρρω πάνυ τελέως. ἐγγὺς μὲν γὰρ οὖσαν ὁ ἥλιος διαλύσει τὴν σύστασιν· πόρρω δ' οὔσης, ἡ ὄψις οὐκ ἀνακλασθήσεται. ἀπὸ γὰρ μικροῦ ἐνόπτρου πόρρω ἀποτεινομένη, ἀσθενὴς γίνεται. διὸ καὶ αἱ ἅλῳ οὐ γίνονται ἐξ ἐναντίας τοῦ ἡλίου. ἄνω μὲν οὖν ἐὰν γίγνηται καὶ ἐγγύς, διαλύσει ὁ ἥλιος· ἐὰν δὲ πόρρω, ἐλάττων ἡ ὄψις οὖσα ἢ ὥστε ποιεῖν ἀνάκλασιν, οὐ προσπεσεῖται. ἐν δὲ τῷ πλαγίῳ ὑπὸ τὸν ἥλιόν ἐστι τοσοῦτον ἀποστῆναι τὸ ἔνοπτρον, ὥστε μήτε τὸν ἥλιον διαλῦσαι, τήν τε ὄψιν ἀθρόαν ἐλθεῖν διὰ τὸ πρὸς τὴν γῆν φερομένην, μὴ διϊκνεῖσθαι ὥσπερ διὰ χανοῦς φερομένην. ὑπὸ δὲ τὸν ἥλιον οὐ γίνεται· διὰ τὸ πλησίον μὲν τῆς γῆς, διαλύεσθαι ἂν ὑπὸ τοῦ ἡλίου· ἄνω δὲ μεσουρανοῦντος, τὴν ὄψιν διασπᾶσθαι. καὶ ὅλως δ' οὐδ' ἐκ πλαγίων μεσουρανίου γίνεται. ἡ γὰρ ὄψις οὐχ ὑπὸ γῆν φέρεται· ὥστ' ὀλίγη ἀφικνεῖται πρὸς τὸ ἔνοπτρον, καὶ ἡ ἀνακλωμένη ἐγίγνετο πάμπαν ἀσθενής. Ὅσα μὲν οὖν ἔργα συμβαίνει παρέχεσθαι τὴν ἔκκρισιν ἐν τοῖς τόποις τοῖς ὑπὲρ τὴν γῆν, σχεδόν ἐστι τοσαῦτα καὶ τοιαῦτα. ὅσα δ' ἐν αὐτῇ τῇ γῇ, ἐγκατακλειομένης τοῖς τῆς γῆς μέρεσιν ἀπεργάζεται, λεκτέον. ποιεῖ γὰρ δύο διαφορὰς σωμάτων διὰ τὸ διπλῆ πεφυκέναι καὶ αὐτή, καθάπερ καὶ ἐν τῷ μετεώρῳ. δύο μὲν γάρ αἱ ἀναθυμιάσεις· ἡ μὲν ἀτμιδώδης· ἡ δὲ καπνώδης, ὥς φαμέν, εἰσί. δύο δὲ καὶ τὰ εἴδη τῶν ἐν τῇ γῇ γινομένων· τὰ μὲν ὀρυκτά, τὰ δὲ μεταλλευτά. ἡ μὲν οὖν

Corone .i. halones cur no fiat e regione solis

Duo genera aspirationu euaporosu & fumidu

fossilia

Metallica

ξηρὰ ἀναθυμίασις ἡ πυρώσασα ποιεῖ τὰ ὀρυκτὰ πάντα, οἷον λίθων τε γένη τὰ ἄτηκτα, καὶ σανδαράκην καὶ ὤχραν καὶ μίλτον καὶ θεῖον, καὶ τἆλλα τὰ τοιαῦτα. τὰ δὲ πλεῖστα τῶν ὀρυκτῶν ἐστι, τὰ μὲν κονία κεχρωματισμένη, τὰ δὲ λίθος ἐκ τοιαύτης γεγονὼς συστάσεως, οἷον κιννάβαρι. τῆς δ᾽ ἀναθυμιάσεως τῆς ἀτμιδώδους, ὅσα μεταλλευτά ἐστι, καὶ ἔστιν ἢ χυτὰ ἢ ἐλατά, οἷον σίδηρος, χρυσός, χαλκός. ποιεῖ δὲ ταῦτα πάντα ἡ ἀναθυμίασις ἡ ἀτμιδώδης ἐγκατακλειομένη, καὶ μάλιστα ἐν τοῖς λίθοις, διὰ ξηρότητα εἰς ἓν συνθλιβομένη καὶ πηγνυμένη, οἷον δρόσος ἢ πάχνη, ὅταν ἀποκριθῇ· ἐνταῦθα δὲ πρὶν ἀποκριθῆναι γεννᾶται ταῦτα. διὸ ταῦτα ἔστι μὲν ὡς ὕδωρ, ἔστι δ᾽ ὡς οὔ· δυνάμει μὲν γὰρ ἡ ὕλη ὕδατος ἦν, ἔστι δ᾽ οὐκέτι, οὐδ᾽ ἐξ ὕδατος γενομένου διά τινος πάθους, ὥσπερ οἱ χυμοί· οὐ γὰρ οὕτω γίνεται τὸ μὲν χαλκός, τὸ δὲ χρυσός, ἀλλὰ πρὶν γενέσθαι παγείσης τῆς ἀναθυμιάσεως ἕκαστα τούτων ἐστί. διὸ πυροῦται πάντα καὶ γῆν ἔχει· ξηρὰν γὰρ ἔχει ἀναθυμίασιν. ὁ δὲ χρυσὸς μόνος οὐ πυροῦται. κοινῇ μὲν οὖν εἴρηται περὶ πάντων αὐτῶν, ἰδίᾳ δ᾽ ἐπισκεπτέον προχειριζομένοις περὶ ἕκαστον γένος.

## ἈΡΙΣΤΟΤΈΛΟΥΣ ΜΕΤΕΩΡΟΛΟΓΙΚΩΝ ΤΩΝ ΕἸΣ ΤΈΣΣΑΡΑ ΤΟ Δ.

Ἐπεὶ δὲ τέτταρα διώρισται αἴτια τῶν στοιχείων, τούτων δὲ κατὰ τὰς συζυγίας καὶ τὰ στοιχεῖα τέτταρα συμβέβηκεν εἶναι, ὧν τὰ μὲν δύο ποιητικά, τὸ θερμὸν καὶ τὸ ψυχρόν, τὰ δὲ δύο παθητικά, τὸ ξηρὸν καὶ τὸ ὑγρόν, ἡ δὲ πίστις τούτων ἐκ τῆς ἐπαγωγῆς· φαίνεται γὰρ ἐν πᾶσιν ἡ μὲν θερμότης καὶ ψυχρότης ὁρίζουσαι καὶ συμφύουσαι καὶ μεταβάλλουσαι τὰ ὁμογενῆ καὶ τὰ μὴ ὁμογενῆ, καὶ ὑγραίνουσαι καὶ ξηραίνουσαι καὶ σκληρύνουσαι καὶ μαλάττουσαι, τὰ δὲ ξηρὰ καὶ ὑγρὰ ὁριζόμενα καὶ τἆλλα τὰ εἰρημένα πάθη πάσχοντα αὐτά τε καθ᾽ αὑτά, καὶ ὅσα κοινὰ ἐξ ἀμφοῖν σώματα συνέστηκεν. ἔτι δ᾽ ἐκ τῶν λόγων δῆλον, οἷς ὁριζόμεθα τὰς φύσεις αὐτῶν· τὸ μὲν γὰρ θερμὸν καὶ ψυχρὸν ὡς ποιητικὰ λέγομεν· τὸ γὰρ συγκριτικὸν ὥσπερ ποιητικόν τί ἐστι· τὸ δ᾽ ὑγρὸν καὶ ξηρόν, παθητικόν· τὸ γὰρ εὐόριστον καὶ δυσόριστον, τῷ πάσχειν τι λέγεται τὴν φύσιν αὐτῶν. ὅτι μὲν οὖν τὰ μὲν ποιητικά, τὰ δὲ παθητικά, φανερόν. διωρισμένων δὲ τούτων, ληπτέον ἂν εἴη τὰς ἐργασίας αὐτῶν, αἷς ἐργάζονται τὰ ποιητικά, καὶ τῶν παθητικῶν τὰ εἴδη. πρῶτον μὲν οὖν καθόλου ἡ ἁπλῆ γένεσις καὶ ἡ φυσικὴ μεταβολή, τοῦτο τῶν δυνάμεών ἐστιν ἔργον, καὶ ἡ ἀντικειμένη φθορὰ κατὰ φύσιν. αὗται δ᾽ οὖν τοῖς τε φυτοῖς ὑπάρχουσι καὶ ζῴοις καὶ τοῖς μέρεσιν αὐτῶν. ἔστι δ᾽ ἡ ἁπλῆ καὶ φυσικὴ γένεσις μεταβολὴ ὑπὸ τούτων τῶν δυνάμεων, ὅταν ἔχωσι λόγον ἐκ τῆς ὑποκειμένης ὕλης ἑκάστῃ φύσει. αὗται δ᾽ εἰσὶν αἱ εἰρημέναι δυνάμεις παθητικαί. γεννῶσι δὲ τὸ θερμὸν καὶ ψυχρόν, κρατοῦντα τῆς ὕλης. ὅταν δὲ μὴ κρατῇ, κατὰ μέρος μὲν μόλυνσις καὶ ἀπεψία γίνεται. τῇ δ᾽ ἁπλῇ γενέσει ἐναντίον μάλιστα κοινὸν σῆψις· πᾶσα γὰρ ἡ κατὰ φύσιν φθορὰ εἰς τοῦθ᾽ ὁδός ἐστιν, οἷον γῆρας ἢ αὔανσις· τέλος δὲ τούτων ἁπάντων σαπρότης, ἂν μή τι βίᾳ φθαρῇ τῶν φύσει συνεστώτων· ἔστι γὰρ καὶ σάρκα καὶ ὀστοῦν καὶ ὁτιοῦν κατακαῦσαι, ὧν τὸ τέλος τῆς κατὰ φύσιν φθορᾶς σῆψις. διὸ ὑγρὰ πρῶτον, εἶτα ξηρὰ τέλος γίνεται τὰ σηπόμενα· ἐκ τούτων γὰρ ἐγένετο, καὶ ὡρίσθη τῷ ὑγρῷ τὸ ξηρόν, ἐργαζομένων τῶν ποιητικῶν. γίνεται δὲ φθορά, ὅταν κρατῇ τοῦ ὁριζομένου τὸ ὁρίζον διὰ τὸ περιέχον. οὐ μὴν ἀλλὰ ἰδίως γε λέγεται σῆψις ἐπὶ τῶν κατὰ μέρος φθειρομένων, ὅταν χωρισθῇ τῆς φύσεως. διὸ καὶ σήπεται πάντα τὰ ἄλλα πλὴν πυρός· καὶ γὰρ γῆ καὶ ὕδωρ καὶ ἀὴρ σήπεται· πάντα γὰρ



Sandaraca
Ochra
Minium
Sulphur
Pulvis coloratus κονία κεχρωματισμένη
Cinnabari
Ferrum
Aurum
Aes
quomodo & unde
χρυσὸς μόνος οὐ πυροῦται
Qualitates duae activae caliditas & frigiditas reliquae duae passivae. Alexander aphrodisaeus omnes quattuor στοιχεῖα i. activas vocat
ἐπαγωγή inductio
Calor & frigus materiam vincendo gignunt
Putrefactio simplici ortui res maxime contraria
σαπρότης putredo alcyoni
Interitus quando advenit rei
Putredo quomodo & ubi dicitur proprie
Cetera elementa corrumpuntur vel potius putrescunt praeter ignem

*Putredinis diffinitio*

ὑγρότητος. ἡ δὲ σῆψις φθορά ἐστιν τῆς ἐν ἑκάστῳ ὑγρῷ οἰκείας καὶ κατὰ φύσιν θερμότητος ὑπ' ἀλλοτρίας θερμότητος· αὕτη δ' ἐστὶν ἡ τοῦ περιέχοντος. ὥστ' ἐπεὶ κατ' ἔνδειαν πάσχει θερμοῦ, ἐνδεὲς δὲ τοιαύτης δυνάμεως ψυχρὸν πᾶν, ἄμφω ἂν αἴτια εἴη, καὶ κοινὸν τὸ πάθος ἡ σῆψις, ψυχρότητός τε οἰκείας καὶ θερμότητος ἀλλοτρίας. διὰ τοῦτο γὰρ ξηρότερα γίνεται τὰ σηπόμενα πάντα, καὶ τέλος γῆ καὶ κόπρος· ἐξιόντος γὰρ τοῦ οἰκείου θερμοῦ συνεξατμίζεται τὸ κατὰ φύσιν ὑγρόν, καὶ τὸ ἐπισπώμενον τὴν ὑγρότητα οὐκ ἔστιν· ἐπάγει γὰρ ἕλκουσα ἡ οἰκεία θερμότης. καὶ ἐν τοῖς ψύχεσι δὲ ἧττον σήπεται ἢ ἐν ταῖς ἀλέαις· ἐν μὲν γὰρ τῷ χειμῶνι ὀλίγον ἐν τῷ περιέχοντι ἀέρι καὶ ὕδατι τὸ θερμόν, ὥστε οὐδὲν ἰσχύει, ἐν δὲ τῷ θέρει πλέον. καὶ τὸ πεπηγὸς μᾶλλον· μᾶλλον γὰρ ψυχρὸν ἢ ὁ ἀὴρ θερμόν, οὐκ οὖν κρατεῖται, τὸ δὲ κινοῦν κρατεῖ τὸ ζέον· ἡ θερμὴ ἐλάττων γὰρ ἡ ἐν τῷ ἀέρι θερμότης τῆς ἐν τῷ πράγματι, ὥστε οὐ κρατεῖ· διὸ οὐδεμίαν ποιεῖ μεταβολήν. ὁμοίως δὲ τὸ κινούμενον καὶ ῥέον ἧττον σήπεται τοῦ ἀκινητίζοντος· ἀσθενεστέρα γὰρ γίνεται ἡ ὑπὸ τῆς ἐν τῷ ἀέρι θερμότητος κίνησις τῆς ἐν τῷ πράγματι προϋπαρχούσης, ὥστε οὐθὲν ποιεῖ μεταβάλλειν. διὰ δὲ τὴν αὐτὴν αἰτίαν καὶ τὸ πολὺ ἧττον τοῦ ὀλίγου σήπεται· ἐν γὰρ τῷ πλείονι πλεῖόν ἐστι πῦρ οἰκεῖον καὶ ψυχρὸν ὥστε κρατεῖν τὰς ἐν τῷ περιεστῶτι δυνάμεις. διὸ καὶ ἡ θάλαττα κατὰ μέρος μὲν διαιρουμένη ταχὺ σήπεται, ἅπασα δ' οὔ· καὶ τὰ ἄλλα ὕδατα ὡσαύτως. καὶ ζῷα ἐγγίνεται τοῖς σηπομένοις διὰ τὸ τὴν ἀποκρινομένην θερμότητα φυσικὴν οὖσαν συνιστάναι τὰ ἐκκριθέντα. τί μὲν οὖν ἐστι γένεσις καὶ φθορά, εἴρηται.

Λοιπὸν δ' εἰπεῖν τὰ ἐχόμενα εἴδη, ὅσα αἱ εἰρημέναι δυνάμεις ἐργάζονται ἐκ τῶν ὑποκειμένων τῶν φύσει συνεστώτων ἤδη. ἔστι δὲ θερμοῦ μὲν πέψις, πέψεως δὲ πέπανσις, ἕψησις, ὄπτησις· ψυχρότητος δὲ ἀπεψία, ταύτης δὲ ὠμότης, μόλυνσις, στάτευσις. δεῖ δ' ὑπολαμβάνειν μὴ κυρίως ταῦτα λέγεσθαι τὰ ὀνόματα τοῖς πράγμασιν, ἀλλ' οὐκ ἔστι κείμενα καθόλου τοῖς ὁμοίοις, ὥστε οὐ ταῦτα ἀλλὰ τοιαῦτα δεῖ νομίζειν εἶναι τὰ εἰρημένα εἴδη. εἴπωμεν δ' αὐτῶν ἕ-

καστον

*Calorē & frigus putredinis causam ēē*

*frigido tempore res minus putrefiunt q̄m calido*

*Oportet quod motum alicui rei allaturū est ut uincat*

*Quod mouetur & fluit minus ~~fluit~~ putrefit q̄m quod nō mouetur*

*Res maiores minus putrescere q̄m minores*

*La mar q̃ se parte en troços se ha…*

*Bestiolę putridis rebꝰ innascuntur & cur*

*μόλυνσις leuis coctio. Alcy.*

*στάτευσις. frixio aut tostio. Alcyo.*



καστον ἰδίᾳ. Πέψις μὲν οὖν ἐστι τελείωσις ὑπὸ τοῦ φυσικοῦ καὶ οἰκείου θερμοῦ ἐκ τῶν ἀντικειμένων παθητικῶν· ταῦτα δ' ἐστὶν ἡ οἰκεία ἑκάστῳ ὕλη. ὅταν γὰρ πεφθῇ, τετελείωταί τε καὶ γέγονε. καὶ ἡ ἀρχὴ τῆς τελειώσεως ὑπὸ θερμότητος οἰκείας συμβαίνει, κἂν διά τινος τῶν ἐκτὸς βοηθείας συνεπιτελεσθῇ, οἷον ἡ τροφὴ συμπέττεται καὶ διὰ λουτρῶν καὶ δι' ἄλλων τοιούτων· ἀλλ' ἡ γε ἀρχὴ ἐν αὐτῷ θερμότης ἐστί. φύσις δὲ λέγομεν ὡς εἶδος καὶ οὐσίαν· τοῖς δ' εἰς ὑποκειμένην τινὰ μορφὴν τὸ τέλος τῆς πέψεως, ὅταν τοιονδὶ γένηται καὶ τοσονδὶ τὸ ὑγρὸν ἢ ὀπτώμενον ἢ ἑψόμενον ἢ σηπόμενον ἢ ἄλλως πως θερμαινόμενον· τότε γὰρ χρήσιμόν ἐστι καὶ πεπέφθαι φαμὲν ὥσπερ τὸ γλεῦκος καὶ τὰ ἐν τοῖς φύμασι συνιστάμενα, ὅταν γένηται πύον, καὶ τὸ δάκρυον, ὅταν γένηται λήμη· ὁμοίως δὲ καὶ τὰ ἄλλα. συμβαίνει δὲ τοῦτο πάσχειν ἅπασιν, ὅταν κρατηθῇ ἡ ὕλη καὶ ἡ ὑγρότης· αὕτη γάρ ἐστιν ἡ ὁριζομένη ὑπὸ τῆς ἐν τῇ φύσει θερμότητος· ἕως γὰρ ἂν ἐνῇ ὁ λόγος ἐν αὐτῇ, φύσις τοῦτ' ἐστί. διὸ καὶ ὑγιείας σημεῖα τὰ τοιαῦτα, καὶ οὖρα καὶ ὑποχωρήσεις καὶ ὅλως τὰ περιττώματα, καὶ λέγεται πεπέφθαι ὅτι δηλοῖ κρατεῖν τὴν θερμότητα τὴν οἰκείαν τοῦ ἀορίστου. ἀνάγκη δὲ τὰ πεττόμενα παχύτερα καὶ θερμότερα εἶναι· τοιοῦτον γὰρ ἀποτελεῖ τὸ θερμόν, ὀγκωδέστερον καὶ παχύτερον καὶ ξηρότερον. πέψις μὲν οὖν τοῦτ' ἐστίν, ἀπεψία δὲ ἀτέλεια δι' ἔνδειαν τῆς οἰκείας θερμότητος· ἡ δ' ἔνδεια ∴ τῆς θερμότητος ψυχρότης ἐστίν. ἡ δ' ἀτέλεια τῶν ἀντικειμένων παθητικῶν, ἅπερ ἐστὶν ἑκάστῳ φύσει ὕλη. πέψις μὲν οὖν καὶ ἀπεψία ἀφωρίσθω. πέπανσις δέ ἐστι πέψις τις· ἡ γὰρ τῆς ἐν τοῖς περικαρπίοις τροφῆς πέψις πέπανσις λέγεται. ἐπεὶ δ' ἡ πέψις τελείωσίς τις, τότε ἡ πέπανσις τελεία ἐστίν, ὅταν τὰ ἐν τῷ περικαρπίῳ σπέρματα δύνηται ἀποτελεῖν τοιοῦτον ἕτερον οἷον αὐτό· καὶ ἐν τοῖς ἄλλοις δὲ τὸ τέλειον οὕτω λέγομεν. περικαρπίου μὲν οὖν αὕτη πέπανσις. λέγεται δὲ καὶ ἄλλα πολλὰ πέπειρα τῶν πεπεμμένων κατὰ μίαν τὴν αὐτὴν ἰδέαν, μεταφορᾷ δέ, διὰ τὸ μὴ κεῖσθαι, καθάπερ εἴρηται καὶ πρότερον, ὀνόματα καθ' ἕκαστην τελείωσιν περὶ τὰ ὁριζόμενα ὑπὸ τῆς φυσικῆς θερμότητος καὶ ψυχρότητος. ἐστὶ δὲ καὶ φυμάτων καὶ φλέγματος

∴ τῆς θερμότητος ψυχρότης.
*sic q: uertit Alcyoniꝰ proprij caloris defectꝰ proprium est frigus*

*Concoctio q̄d*

*λήμη. Alcyoniꝰ glamias uertit nescio quē auctorē secutꝰ*

*Concoq̄ aliq̄d fit*

*Concocta necesse est crassiora & calidiora esse*

*Cruditatis diffinitio*

*Maturitas q̄ diffiniatur*

*πέπανσις*

*περικαρπίοις fructibꝰ*

*πέπειρα .i. matura*

*ἰδέαν formulā alcyoniꝰ*

καὶ τῶν τοιούτων πέπανσις, ἡ ὑπὸ τοῦ φυσικοῦ θερμοῦ, τοῦ ἐνόντος ὑγροῦ πέψις· ἀδύνατον γὰρ ὁρίζειν μὴ κρατοῦν. ἐκ μὲν οὖν πνευματικῶν, ὑδατώδη· ἐκ δὲ τῶν τοιούτων, τὰ γεηρὰ συνίσταται· καὶ ἐκ λεπτῶν ἀεὶ παχύτερα γίνεται πεπαινόμενα πάντα· καὶ τὰ μὲν εἰς αὑτὴν ἡ φύσις ἄγει κατὰ τοῦτο, τὰ δὲ ἐκβάλλει. πέπανσις μὲν οὖν εἴρηται, τί ἐστιν· ὠμότης δ' ἐστὶ τὸ ἐναντίον· ἐναντίον δὲ πεπάνσει, ἀπεψία τῆς ἐν τῷ περικαρπίῳ τροφῆς· αὕτη δ' ἐστὶν ἡ ἀόριστος ὑγρότης. διὸ ἢ πνευματικὴ ἢ ὑδατώδης, ἢ τῶν ἐξ ἀμφοῖν ἐστιν ἡ ὠμότης. ἐπεὶ δ' ἡ πέπανσις τελείωσίς τίς ἐστιν, ἡ ὠμότης ἀτέλεια ἔσται. γίνεται δ' ἀτέλεια δι' ἔνδειαν τοῦ φυσικοῦ θερμοῦ καὶ ἀσυμμετρίαν πρὸς τὸ ὑγρὸν τὸ πεπαινόμενον. οὐδὲν δ' ὑγρὸν αὐτὸ καθ' αὑτὸ πεπαίνεται ἄνευ ξηροῦ· ὕδωρ γὰρ οὐ παχύνεται μόνον τῶν ὑγρῶν. συμβαίνει δὲ τοῦτο ἢ διὰ τὸ θερμὸν ὀλίγον εἶναι, ἢ διὰ τὸ ὁριζόμενον ὑγρὸν πολύ. διὸ καὶ λεπτοὶ οἱ χυμοὶ τῶν ὠμῶν, καὶ ψυχροὶ μᾶλλον ἢ θερμοί, καὶ ἄβρωτοι καὶ ἄποτοι. λέγεται δὲ καὶ ἡ ὠμότης ὥσπερ καὶ ἡ πέπανσις, πλεοναχῶς· ὅθεν καὶ ὑποχωρήσεις καὶ κατάρροι ὠμοὶ λέγονται. διὰ τὸ αὐτὸ αἴτιον· τῷ γὰρ μὴ κεκρατῆσθαι ὑπὸ τῆς θερμότητος, μηδὲ συνεστάναι, ὠμὰ τὰ πάντα προσαγορεύεται. προϊόντων δὲ καὶ κέραμος ὠμὸς καὶ γάλα ὠμὸν καὶ ἄλλα πολλὰ λέγεται, ἐὰν δυνάμενα μεταβάλλειν καὶ συνίστασθαι ὑπὸ θερμότητος ἀπαθῆ ᾖ. διὸ τὸ ὕδωρ ἑφθὸν μὲν λέγεται, ὠμὸν δ' οὔ, ὅτι οὐ παχύνεται. πέπανσις μὲν οὖν καὶ ὠμότης εἴρηται, καὶ τί ἐστι, καὶ διὰ τί ἐστιν ἑκάτερον. ἕψησις δ' ἐστὶ μὲν ὅλως πέψις ὑπὸ θερμότητος ὑγρᾶς τοῦ ἐνυπάρχοντος ἀορίστου ἐν τῷ ὑγρῷ· λέγεται δὲ τὸ ὄνομα κυρίως μόνον ἐπὶ τῶν ἑψομένων. τοῦτο δ' ἂν εἴη ὥσπερ εἴρηται πνευματῶδες ἢ ὑδατῶδες. ἡ δὲ πέψις γίνεται ἀπὸ τοῦ ἐν τῷ ὑγρῷ πυρός· τὰ γὰρ ἐπὶ τῶν τηγάνων ὀπτᾶται· ὑπὸ γὰρ τοῦ ἔξωθεν θερμοῦ πάσχει, ἐν ᾧ δ' ἐστὶν ὑγρῷ, τοῦτο ποιεῖ ἐκεῖνο μᾶλλον ξηρόν, εἰς αὑτὸ ἀναλαμβάνον· τὸ δ' ἑψόμενον τοὐναντίον ποιεῖ· ἐκκρίνεται γὰρ ἐξ αὐτοῦ τὸ ὑγρὸν ὑπὸ τῆς ἐν τῷ ἔξω ὑγρῷ θερμασίας. διὸ ξηρότερα τὰ ἑφθὰ τῶν

ὀπτῶν

Ex spirabilibus diluta & aquea ex aqueis terrena coagmentantur & generatim omnia maturitate adepta ex tenuib(us) crassiora redduntur

ὠμότης cruditatis succi in fructu diff(initi)o & est uel spirabilis uel aquea

Aq(u)am solam ex rebus humidis no(n) crassescere calfactam

ὑποχωρήσεις deiectiones

κατάρροι destillationes

Aq(u)a ~~cocta~~ elixa no(n) aute(m) immatura dici potest q(uia) no(n) crassescit

ἕψησις .i. elixatio q(uid)

τηγάνω sartagine

Elixa assis siccioria & c(etera)



ὀπτῶν· οὐ γὰρ ἀνασπᾷ εἰς αὑτὰ τὸ ὑγρὸν τὰ ἑψόμενα· κρατεῖ γὰρ ἡ ἔξωθεν θερμότης τῆς ἐντός· εἰ δὲ ἐκράτει ἡ ἐντός, εἷλκεν ἂν εἰς αὑτήν. ἔστι δ' οὐ πᾶν σῶμα ἑψητόν· οὔτε γὰρ ἐν ᾧ μηδέν ἐστιν ὑγρόν, οἷον ἐν λίθοις, οὔτε ἐν οἷς ἔνεστι μέν, ἀλλ' ἀδύνατον κρατηθῆναι διὰ πυκνότητα, οἷον ἐν τοῖς ξύλοις· ἀλλ' ὅσα τῶν σωμάτων ἔχει ὑγρότητα παθητικὴν ὑπὸ τῆς ἐν τῷ ὑγρῷ πυρώσεως. λέγεται δὲ καὶ χρυσὸς ἕψεσθαι καὶ ξύλα καὶ ἄλλα πολλά, κατὰ μὲν τὴν ἰδέαν οὐ τὴν αὐτήν, μεταφορᾷ δέ· οὐ γὰρ ἄρτια κεῖται τὰ ὀνόματα ταῖς διαφοραῖς. τὰ δ' ὑγρὰ δὲ ἕψεσθαι λέγομεν, οἷον γάλα καὶ γλεῦκος, ὅταν ἐν τῷ ὑγρῷ ὁ χυμὸς εἰς εἶδός τι μεταβάλλῃ ὑπὸ τοῦ κύκλῳ καὶ ἔξωθεν πυρὸς θερμαίνοντος, ὥστε τρόπον τινὰ παραπλησίως τῇ εἰρημένῃ ἑψήσει ποιεῖ. τέλος δ' οὐ τὸ αὐτὸ πᾶσι τοῖς ἑψομένοις, οὔτε τοῖς πεπτομένοις· ἀλλὰ τοῖς μὲν πρὸς ἐδωδήν, τοῖς δὲ πρὸς πόσιν, τοῖς δὲ πρὸς ἄλλην χρείαν· ἐπεὶ καὶ τὰ φάρμακα ἕψειν λέγομεν. ὥστε ὅσα παχύτερα δύναται γίνεσθαι, ἢ ἐλάττω ἢ βριθύτερα, ἢ τὰ μὲν αὐτῶν οὕτω, τὰ δ' ἐναντίως διὰ τὸ διακεκρίσθαι, τὰ μὲν παχύνεσθαι, τὰ δὲ λεπτύνεσθαι, ὥσπερ τὸ γάλα εἰς ὀρρὸν καὶ πυτίαν, πάντα ἑψητά ἐστιν. τὸ δ' ἔλαιον οὐχ ἕψεται αὐτὸ καθ' αὑτό, ὅτι οὐδὲν τούτων πάσχει. ἡ μὲν οὖν κατὰ τὴν καλουμένην ἕψησιν λεγομένη πέψις τοῦτ' ἐστίν· καὶ οὐθὲν διαφέρει ἐν ὀργάνοις τεχνικοῖς ἢ φυσικοῖς, ἐὰν γίνηται· διὰ τὴν αὐτὴν γὰρ αἰτίαν πάντα ἔσται. μώλυνσις δὲ ἀπεψία μέν, ἐναντία δὲ ἑψήσει· ἐναντία δ' ἡ πρώτη λεχθεῖσα ἀπεψία τῆς ἐν τῷ σώματι ἀορίστου διὰ τὴν ἔνδειαν τῆς ἐν τῷ πέριξ ὑγρῷ θερμότητος. ἡ δ' ἔνδεια μεταξὺ ψυχρότητός ἐστιν, εἴρηται. γίνεται δὲ διὰ κίνησιν ἄλλην· ἐκκρίνεται γὰρ ἡ πέττουσα, καὶ ἡ ἔνδεια ἢ διὰ τὸ πλῆθος τῆς ἐν τῷ ὑγρῷ ψυχρότητος, ἢ διὰ τὸ ἐν τῷ ἑψομένῳ πλῆθος. τότε γὰρ συμβαίνει τὴν ἐν τῷ ὑγρῷ θερμότητα πλείω μὲν εἶναι ἢ ὥστε μὴ κινῆσαι, ἐλάττω δὲ ἢ ὥστε ὁμαλῦναι καὶ συμπέψαι. διὸ σκληρότερα μὲν τὰ μεμολυσμένα γίνεται τῶν ἑφθῶν, τὰ δ' ὑγρὰ διωρισμένα μᾶλλον. ἕψησις μὲν οὖν καὶ μώλυνσις εἴρηται τί ἐστι, καὶ διὰ τί ἐστιν. ὄπτησις δ' ἐστὶ πέψις ὑπὸ θερμότητος ξηρᾶς καὶ ἀλλοτρίας. διὸ κἂν ἕψων τις ποιῇ μεταβάλλειν καὶ πέττεσθαι μὴ

Que corpora elixationi sint apta

ὀρρὸν Seru(m)

πυτία coagulu(m)

Que sint apta elixatio(ni)

Oleu(m) p(er) se no(n) elixatur

μόλυνσις leuis coctio

Assatio q(uid)

ὑπὸ τῆς τοῦ ὑγροῦ θερμότητος· ἀλλ' ὑπὸ τῆς τοῦ πυρός, ὅταν μὲν τε-
λεωθῇ, ὀπτὸν γίνεται ἑφθόν, τὴν δ' ὑπερβολὴν προσκεκαῦσθαι λέγεται.
ὑπὸ ξηρᾶς δὲ θερμότητος λύεται, ὅταν ξηρότερον γίνηται ὑπὸ τελεωθέν.
διὸ καὶ τὰ ἐκτὸς ξηρότερα τῶν ἐντός· τὰ δὲ ἑφθὰ τοὐναντίον. καὶ
ἔργον ἐπὶ τῶν χειροκμήτων τὸ ὀπτῆσαι μᾶλλον ἢ ἑψῆσαι· χαλεπὸν γὰρ
τὰ ἐντὸς καὶ τὰ ἐκτὸς ὁμαλῶς θερμαίνεσθαι· αἰεὶ γὰρ τὰ ἐγγύτερον
τοῦ πυρὸς ξηραίνεται θᾶττον, ὥστε καὶ μᾶλλον. συνιόντων οὖν τῶν
ἔξωθεν πόρων, οὐ δύναται ἐκκρίνεσθαι τὸ ἐνυπάρχον ὑγρόν, ἀλλ' ἐγκατα-
κλείεται ὅταν οἱ πόροι μύσωσιν. ὄπτησις μὲν οὖν καὶ ἕψησις, γίνονται
μὲν τέχνῃ, ἔστι δέ, ὥσπερ λέγομεν, τὰ εἴδη καθόλου ταὐτὰ καὶ φύ-
σει· ὅμοια γὰρ γιγνόμενα πάθη, ἀλλ' ἀνώνυμα· μιμεῖται γὰρ ἡ τέ-
χνη τὴν φύσιν, ἐπεὶ καὶ τῆς τροφῆς ἐν τῷ σώματι πέψις, ὁμοία
ἑψήσει ἐστίν· ἐν γὰρ ὑγρῷ καὶ θερμῷ ὑπὸ τῆς τοῦ σώματος θερμότητος
γίνεται. καὶ ἀπεψίαι ἔνιαι ὅμοιαι τῇ μωλύνσει. καὶ ζῷον οὐκ ἐγγίνεται
ἐν τῇ πέψει, ὥσπερ τινές φασιν, ἀλλ' ἐν τῇ ἀποκρίσει σηπομένῃ
ἐν τῇ κάτω κοιλίᾳ, εἶτ' ἐπανέρχεται ἄνω· πέττεται μὲν γὰρ ἐν τῇ ἄνω κοι-
λίᾳ, σήπεται δ' ἐν τῇ κάτω τὸ ἀποκριθέν· δι' ἣν δ' αἰτίαν, εἴρηται ἐν ἑτέ-
ροις. ἡ μὲν οὖν μώλυνσις, τῇ ἑψήσει ἐναντίον· τῇ δ' ὡς ὀπτήσει λεγομένῃ
πέψει, ἔστι μέν τι ἀντικείμενον ὁμοίως, ἀνωνυμώτερον δέ. εἴη δ' ἂν ὅ-
μοιον, εἰ γίγνοιτο στάτευσις ἀντὶ ὀπτήσεως, δι' ἔνδειαν θερμότητος·
ἢ συμβαίη ἂν ἢ δι' ὀλιγότητα τοῦ ἔξω πυρός, ἢ διὰ τὸ πλῆθος τοῦ
ἐν τῷ ὀπτωμένῳ ὕδατος· τότε γὰρ πλείω μὲν ἐστὶν ἢ ὥστε μὴ κινῆ-
σαι, ἐλάττω δὲ ἢ ὥστε πέψαι. τί μὲν οὖν ἐστι πέψις καὶ ἀπεψία, καὶ πέ-
πανσις, καὶ ὠμότης, καὶ ἕψησις, καὶ ὄπτησις, καὶ τἀναντία τούτων, εἴρηται. τοῦ δ'
ὑγροῦ καὶ τοῦ ξηροῦ, λεκτέον τὰ εἴδη. εἰσὶ δ' αἱ μὲν ἀρχαὶ
τῶν σωμάτων αἱ παθητικαὶ ὑγρὸν καὶ ξηρόν· τὰ δ' ἄλλα μικτὰ μὲν
ἐκ τούτων· ὁποτέρου δὲ μᾶλλον, τούτου μᾶλλον τὴν φύσιν ἐστίν· οἷ-
ον τὰ μὲν ξηροῦ μᾶλλον, τὰ δ' ὑγροῦ. πάντα δὲ ταῦτα τὰ μὲν ἐντε-
λεχείᾳ ἔσται, τὰ δ' ἐν τῷ ἀντικειμένῳ. ἔχει δ' οὕτω τῆξις πρὸς τὸ
τηκτόν. ἐπεὶ δ' ἐστὶ τὸ μὲν ὑγρὸν εὐόριστον, τὸ δὲ ξηρὸν δυ-
σόριστον

Χειροκμήτων que manu formantur

Difficilius assare quam elixare

Arte imitari natura

Animal no gigni in concoctione sed in putrescentia excrementi in uentre inferiore

De humore & siccitate patibilibus facultatibus

Entelechia actu. Alc.



σόριστον, ὁμοιόν τι τῷ ὄψῳ καὶ τοῖς ἡδύσμασι πρὸς ἄλληλα πά-
σχουσι· τὸ γὰρ ὑγρὸν τῷ ξηρῷ αἴτιον τοῦ ὁρίζεσθαι, καὶ ἑκάτερον
ἑκατέρῳ οἷον κόλλα γίνεται, ὥσπερ καὶ Ἐμπεδοκλῆς ἐποίησεν ἐν
τοῖς φυσικοῖς, ἄλφιτον ὕδατι κολλήσας. καὶ διὰ τοῦτ' ἐξ ἀμφοῖν
ἐστὶ τὸ ὡρισμένον σῶμα. λέγεται δὲ τῶν στοιχείων ἰδιαίτατα ξηροῦ
μὲν γῆς, ὑγροῦ δὲ ὕδατος· διὰ τοῦτο ἅπαντα τὰ ὡρισμένα σώ-
ματα ἐνταῦθα, οὐκ ἄνευ γῆς καὶ ὕδατος· ὁποτέρου δὲ πλέον, κατὰ
τὴν δύναμιν τούτου ἕκαστον φαίνεται. καὶ ἐν γῇ καὶ ἐν ὕδατι ζῷα μόνον
ἐστίν, ἐν ἀέρι δὲ καὶ πυρὶ οὐκ ἔστιν, ὅτι τῶν σωμάτων ὕλη ταῦτα.
τῶν δὲ σωματικῶν παθημάτων ταῦτα πρῶτα ἀνάγκη ὑπάρχειν τῷ
ὡρισμένῳ, σκληρότητα ἢ μαλακότητα· ἀνάγκη γὰρ τὸ ἐκ ξηροῦ
καὶ ὑγροῦ, ἢ σκληρὸν εἶναι ἢ μαλακόν. ἔστι δὲ σκληρὸν μὲν τὸ μὴ ὑπεῖκον
εἰς αὑτὸ κατὰ τὸ ἐπίπεδον· μαλακὸν δὲ τὸ ὑπεῖκον τῷ μὴ ἀντιπε-
ριίστασθαι· τὸ γὰρ ὕδωρ οὐ μαλακόν· οὐ γὰρ ὑπείκει τῇ θλίψει τὸ ἐπίπε-
δον εἰς βάθος, ἀλλ' ἀντιπεριίσταται. ἁπλῶς μὲν οὖν σκληρὸν ἢ μαλακόν,
τὸ ἁπλῶς τοιοῦτον· πρὸς ἕτερον δὲ τὸ πρὸς ἐκεῖνο τοιοῦτον. πρὸς μὲν
οὖν ἄλληλα, ἀόριστά ἐστι τῷ μᾶλλον καὶ ἧττον· ἐπεὶ δὲ πρὸς τὴν αἴσθη-
σιν πάντα κρίνομεν τὰ αἰσθητά, δῆλον ὅτι καὶ σκληρὸν καὶ τὸ μαλα-
κὸν ἁπλῶς πρὸς τὴν ἀφὴν ὡρίκαμεν, ὡς μεσότητι χρώμενοι τῇ ἀφῇ·
διὸ τὸ μὲν ὑπερβάλλον αὐτὴν σκληρόν, τὸ δ' ἐλλεῖπον μαλακὸν εἶναι
φαμέν. ἀνάγκη δὴ σκληρὸν ἢ μαλακὸν εἶναι τὸ ὡρισμένον σῶμα, οἰκείῳ
ὅρῳ· ἢ γὰρ ὑπείκει ἢ μή. ἔτι πεπῆχθαι δεῖ· τούτῳ γὰρ ὁρίζεται. ὥστ' ἐπεὶ πᾶν
μὲν τὸ ὡρισμένον καὶ συνεστηκός, ἢ μαλακὸν ἢ σκληρόν· ταῦτα δὲ πήξει ἐστίν·
ἅπαντ' ἂν εἴη τὰ σώματα τὰ σύνθετα καὶ ὡρισμένα οὐκ ἄνευ πή-
ξεως. περὶ πήξεως οὖν λεκτέον. ἔστι δὲ τὰ αἴτια τὰ περὶ τὴν ὕλην, δύο·
τό, τε ποιοῦν καὶ τὸ πάθος· τὸ μὲν ποιοῦν, ὡς ὅθεν ἡ κίνησις· τὸ δὲ πά-
θος, ὡς εἶδος. ὥστε καὶ τοῦ πήξεσθαι καὶ διαχεῖσθαι, καὶ τοῦ ξηραίνεσθαι καὶ τοῦ ὑγραί-
νεσθαι. ποιεῖ δὲ τὸ ποιοῦν, δυσὶ δυνάμεσι, καὶ πάσχει τὸ πάσχον, παθήμα-
σι δυσίν, ὥσπερ εἴρηται· ποιεῖ μὲν θερμῷ καὶ ψυχρῷ· τὸ δὲ πάθος, ἢ παρου-
σίᾳ ἢ ἀπουσίᾳ θερμοῦ ἢ ψυχροῦ. ἐπεὶ δὲ τὸ πήγνυσθαι, ξηραίνεσθαι

Empedocles

Omnia corpora circumscripta i. caduca & genita sine aqua & terra non sunt. ideo homerus optime. ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε

Animalia aque & terre dumtaxat uernacula reperiuntur aeris autem & ignis minime

De corporeis affectionibus prime corporibus insunt. Durities aut mollitudo

Duri / mollis } Diff°

ἀντιπεριίστασθαι

Aqua non potest dici mollis

Durum & molle ad sensum tactus refertur

De gelatu i. πῆξις

Duas causas in materia uersari agente & perpessionem. illam unde motus. hanc unde figura & agit agens duabus potentiis & patitur patiens totidem.

ὑγροῦ σῶμα ὕδωρ ξηροῦ δὲ γῆ

Terram & aquam frigidas esse

Antiperistasis

frigor & comburere non numquam dicitur & calfacere

Aque genera
Vinum
Lotium
Serum

Humectari quod

πῶς δ' ἐστί. περὶ τούτου εἴπωμεν πρῶτον. τὸ δὴ πάσχον, ἢ ὑγρόν, ἢ ξηρόν, ἢ ἐκ τούτων. τιθέμεθα δὲ ὑγροῦ σῶμα, ὕδωρ· ξηροῦ δὲ, γῆν. ταῦτα γάρ ἐστι τῶν ὑγρῶν καὶ ξηρῶν παθητικά. διὸ καὶ τὸ ψυχρὸν τῶν παθητικῶν μᾶλλον ἐν τούτοις γάρ ἐστι. καὶ γὰρ ἡ γῆ καὶ τὸ ὕδωρ ψυχρὰ ὑπόκειται. ποιητικὸν μὲν δὴ τὸ ψυχρὸν ὡς φθαρτικὸν ἢ ὡς κατὰ συμβεβηκός, καθάπερ εἴρηται πρότερον. ἐνίοτε γὰρ καὶ κάειν λέγεται καὶ θερμαίνειν τὸ ψυχρόν. οὐχ ὡς τὸ θερμόν. ἀλλὰ τῷ συνάγειν ἢ ἀντιπεριιστάναι τὸ θερμόν. ξηραίνεται δὲ ὅσα ἐστὶν ὕδωρ καὶ ὕδατος εἴδη, ἢ ἔχει ὕδωρ· εἴτε ἐπακτόν, εἴτε σύμφυτον. λέγω δ' ἐπακτὸν μὲν οἷον ἐν ἐρίῳ· σύμφυτον δέ, οἷον ἐν γάλακτι. ὕδατος δ' εἴδη τὰ τοιάδε οἶνος· οὖρον· ὀρρός. καὶ ὅλως ὅσα μηδεμίαν, ἢ βραχεῖαν ἔχει ὑπόστασιν μὴ διὰ γλισχρότητα. ἐνίοις μὲν γὰρ αἴτιον τοῦ μὴ ὑφίστασθαι μηθὲν ἡ γλισχρότης· ὥσπερ ἐλαίῳ ἢ πίττῃ. ξηραίνεται δὲ πάντα, ἢ θερμαινόμενα ἢ ψυχόμενα. ἀμφότερα δὲ θερμῷ. καὶ ὑπὸ τῆς ἐντὸς θερμότητος ἢ τῆς ἔξω. καὶ γὰρ τὰ τῇ ψύξει ξηραινόμενα ὥσπερ ἱμάτιον ἐὰν ᾖ κεχωρισμένον αὐτὸ καθ' αὑτὸ ὑγρὸν ὑπὸ τοῦ ἐντὸς θερμοῦ συνεξατμίζοντος τὸ ὑγρὸν, ξηραίνεται. ἂν ὀλίγον ᾖ τὸ ὑγρόν, ἐξιούσης τῆς θερμότητος ὑπὸ τοῦ περιεστῶτος ψυχροῦ. ξηραίνεται μὲν οὖν ὥσπερ εἴρηται ἅπαντα, ἢ θερμαινόμενα ἢ ψυχόμενα. καὶ πάντα θερμῷ, ἢ τῷ ἐντὸς ἢ τῷ ἐκτὸς· συνεξατμίζοντι τὸ ὑγρόν. λέγω δὲ ἐκτὸς μὲν ὥσπερ τὰ ἑψόμενα, ἐντὸς δὲ ὅταν ἀφαιρεθέντος τοῦ ὑγροῦ ἐφ' ἧς ἔχει θερμότητος ἀναλωθῇ ἀποπνεούσης. περὶ μὲν οὖν τοῦ ξηραίνεσθαι εἴρηται. τὸ δ' ὑγραίνεσθαι ἐστὶν ἓν μέν, τὸ ὕδωρ γίνεσθαι συνιστάμενον. ἓν δὲ τὸ τήκεσθαι τὸ πεπηγός. τούτων δὲ συνίσταται μὲν εἰς ὕδωρ ψυχόμενον τὸ πνεῦμα. περὶ δὲ τήξεως ἅμα καὶ πήξεως ἔσται δῆλον. πήγνυται δὲ ὅσα πήγνυται, ἢ ὕδατος ὄντα, ἢ γῆς καὶ ὕδατος. καὶ ταῦτα, ἢ ψυχρῷ ἢ θερμῷ ξηρῷ. διὸ καὶ λύεται τοῖς ἐναντίοις ὅσα λύεται τῶν ὑπὸ θερμοῦ παγέντων ἢ ψυχροῦ. τὰ μὲν γὰρ ὑπὸ θερμοῦ ξηροῦ παγέντα, ὑπὸ ὕδατος λύεται. ὅ ἐστιν ὑγρὸν ψυχρόν. τὰ δὲ ὑπὸ ψυχροῦ παγέντα ὑπὸ πυρὸς λύεται. ὅ ἐστι θερμόν. πήγνυσθαι δ' ἔνια δόξειεν ἂν

ὑπὸ



ὑπὸ ὕδατος, οἷον τὸ μέλι τὸ ἑφθόν. πήγνυται δὲ οὐχ ὑπὸ τοῦ ὕδατος ἀλλ' ὑπὸ τοῦ ἐν αὐτῷ ψυχροῦ. ὅσα μὲν οὖν ἐστιν ὕδατος οὐ πήγνυται ὑπὸ πυρός, λύεται γὰρ ὑπὸ πυρός. τὸ δ' αὐτὸ τῷ αὐτῷ κατὰ ταὐτὸ οὐκ ἔστιν αἴτιον τοὐναντίου. Ἔτι τῷ ἀπιέναι τὸ θερμὸν πήγνυται. ὥστε δῆλον ὅτι τῷ εἰσιέναι λυθήσεται. ὥστε τῷ εἰσιόντι τοῦ ψυχροῦ, πήγνυται. διὸ οὐ παχύνεται τὰ τοιαῦτα πηγνύμενα. ἡ γὰρ πάχυνσις· ὑγροῦ μὲν ἀπιόντος γίνεται. τοῦ ξηροῦ δὲ συνισταμένου. ὕδωρ δὲ τῶν ὑγρῶν οὐ παχύνεται μόνον. ὅσα δὲ κοινὰ γῆς καὶ ὕδατος, καὶ ὑπὸ πυρὸς πήγνυται, καὶ ὑπὸ ψυχροῦ. παχύνεται δὲ ὑπ' ἀμφοῖν. ἔστι μὲν ὡς τὸν αὐτὸν τρόπον. ἔστι δ' ὡς ἄλλως. ὑπὸ μὲν θερμοῦ τὸ ὑγρὸν ἐξάγοντος. ἐξατμίζοντος γὰρ τοῦ ὑγροῦ, παχύνεται τὸ ξηρὸν καὶ συνίσταται. ὑπὸ δὲ ψυχροῦ τὸ θερμὸν ἐκθλίβοντος. μεθ' οὗ τὸ ὑγρὸν συναπέρχεται συνεξατμίζοντος. ὅσα μὲν οὖν μαλακὰ ἀλλὰ μὴ ὑγρά, οὐ παχύνεται ἀλλὰ πήγνυται, ἐξιόντος τοῦ ὑγροῦ. οἷον ὁ ὀπτώμενος κέραμος. ὅσα δὲ ὑγρὰ τῶν μικτῶν καὶ παχύνεται. οἷον γάλα. πολλὰ δὲ καὶ ὑγραίνεται πρῶτον. ὅσα ἦν παχέα ἢ σκληρὰ ὑπὸ ψυχροῦ προϋπάρχοντα. ὥσπερ καὶ ὁ κέραμος τὸ πρῶτον ὀπτώμενος ἀτμίζει καὶ μαλακώτερος γίνεται. διὸ καὶ διαστρέφεται ἐν ταῖς καμίνοις. ὅσα μὲν οὖν ὑπὸ ψυχροῦ πήγνυται, τῶν κοινῶν γῆς καὶ ὕδατος, πλεῖον δὲ ἐχόντων γῆς, τὰ μὲν διὰ τὸ θερμὸν ἐξεληλυθέναι πηγνύμενα, ταῦτα τήκεται θερμῷ. εἰσιόντος πάλιν τοῦ θερμοῦ. οἷον ὁ πηλὸς ὅταν παγῇ. ὅσα δὲ διὰ ψύξιν καὶ τοῦ θερμοῦ συνεξατμίσαντος ἅπαντος. ταῦτα δὲ ἄλυτα μὴ ὑπερβαλλούσῃ θερμότητι, ἀλλὰ μαλάττεται. οἷον σίδηρος καὶ κέρας. τήκεται δὲ καὶ ὁ εἰργασμένος σίδηρος. ὥστε ὑγρὸς γίνεσθαι καὶ πάλιν πήγνυσθαι. καὶ τὰ στόματα ποιοῦσιν οὕτως. ὑφίσταται γάρ, καὶ ἀποκαθαίρεται κάτω ἡ σκωρία. ὅταν δὲ πολλάκις πάθῃ καὶ καθαρὸς γένηται, τοῦτο στόμωμα γίνεται. οὐ ποιοῦσι δὲ πολλάκις αὐτό, διὰ τὸ ἀπουσίαν γίνεσθαι πολλὴν, καὶ τὸν σταθμὸν ἐλάττω, ἀποκαθαιρομένου. ἔστι δὲ ἀμείνων σίδηρος ὁ ἐλάττω ἔχων ἀποκάθαρσιν. τήκεται δὲ καὶ ὁ λίθος ὁ πυρίμαχος· ὥστε στάζειν καὶ ῥεῖν. τὸ δὲ πηγνύμενον ὅταν ῥυῇ, πάλιν γίνεται

ferrum arte domitum liquescit & liquefactum iterum densatur

σκωρία recrementum

στόμωμα defecatum alcyo.

Melius est ferrum quod minus recrementi habet

Pyrimachus lapis

σκληρόν· καὶ αἱ μύλαι τήκονται ὥστε ῥέειν· τὸ δὲ ῥέον πηγνύμενον,
τὸ μὲν χρῶμα μέλαν, ὅμοιον δὲ γίνεται τῇ τιτάνῳ· τήκεται δὲ καὶ ὁ πη-
λὸς καὶ ἡ γῆ. ὅσα δ' ὑπὸ θερμοῦ ξηροῦ πήγνυται, τὰ μὲν ἄλυτα, τὰ δὲ λυ-
τὰ ὑγρῷ· κέραμος μὲν οὖν καὶ λίθων ἔνια γένη ὅσοι ὑπὸ πυρὸς τῆς γῆς
συγκαυθείσης γίνονται, οἷον αἱ μυλίαι, ἄλυτοι· νίτρον δὲ καὶ ἅλες, λυ-
τὰ ὑγρῷ· οὐ παντὶ δέ, ἀλλὰ ψυχρῷ· διὸ ὕδατι καὶ ὅσα ὕδατος εἴδη τή-
κονται· ἐλαίῳ δ' οὐ τήκεται· τῷ γὰρ ξηρῷ θερμῷ ἐναντίον ψυχρὸν ὑγρόν· εἰ οὖν
ἔπηξε θάτερον, θάτερον λύσει· οὕτω γὰρ τἀναντία ἔσται αἴτια τῶν ἐ-
ναντίων. παχύνεται μὲν οὖν ὑπὸ τοῦ πυρὸς μόνον, ὅσα ὕδατος πλεῖον ἔ-
χει ἢ γῆς· πήγνυται δὲ ὅσα γῆς· διὸ καὶ τὸ νίτρον καὶ οἱ ἅλες γῆς εἰσι μᾶλλον·
καὶ λίθος καὶ κέραμος. ἀπορώτατα δ' ἔχει ἡ τοῦ ἐλαίου φύσις· εἰ μὲν γὰρ
ὕδατος, ἔδει συνίστασθαι ὑπὸ ψυχροῦ ὡς οἱ πάγοι· εἰ δὲ γῆς πλεῖον, ὑπὸ πυρός·
ὡς ὁ κέραμος· νῦν δὲ πήγνυται μὲν ὑπ' οὐδετέρου· παχύνεται δ' ὑπ' ἀμ-
φοῖν· αἴτιον δ' ὅτι ἀέρος πλῆρες· διὸ καὶ ἐν τῷ ὕδατι ἐπιπολάζει· καὶ
γὰρ ὁ ἀὴρ φέρεται ἄνω· τὸ μὲν οὖν ψυχρόν, ἐκ τοῦ ἐνόντος πνεύματος ὕ-
δωρ ποιοῦν, παχύνει· ἀεὶ γὰρ ὅταν μιχθῇ ὕδωρ καὶ ἔλαιον, ἀμφοῖν γίνεται
παχύτερον· ὑπὸ δὲ πυρὸς καὶ χρόνου παχύνεται καὶ λευκαίνεται· λευκαί-
νεται μὲν ἐξατμίζοντος εἴ τι ἐνῆν ὕδατος· παχύνεται δὲ διὰ τὸ μα-
ραινομένου τοῦ θερμοῦ ἐκ τοῦ ἀέρος γίνεσθαι ὕδωρ· ἀμφοτέρως μὲν οὖν τὸ
αὐτὸ γίνεται πάθος καὶ διὰ τὸ αὐτό· ἀλλ' οὐχ ὡσαύτως. παχύνεται μὲν οὖν
ὑπ' ἀμφοτέρων· ξηραίνεται δὲ ὑπ' οὐδετέρου· οὔτε γὰρ ὁ ἥλιος, οὔτε τὸ
ψῦχος ξηραίνει· οὐ μόνον διότι γλίσχρον, ἀλλὰ καὶ διότι ἀέρος ἐστίν·
οὐ ξηραίνεται γὰρ τὸ ὕδωρ οὐδ' ἐξέψεται ὑπὸ πυρός, ὅτι οὐκ ἀτμίζει διὰ γλι-
σχρότητα· ὅσα δὲ μικτὰ ὕδατος καὶ γῆς, κατὰ τὸ πλῆθος ἑκατέρου ἄξιον
λέγεσθαι· οἶνος γάρ τις καὶ πήγνυται καὶ ἕψεται· οἷον τὸ γλεῦκος· ἀπέρχεται δὲ
ἀπὸ πάντων τῶν τοιούτων ξηραινομένων, τὸ ὕδωρ· σημεῖον δ' ὅτι τὸ ὕ-
δωρ· ἡ γὰρ ἀτμὶς συνίσταται εἰς ὕδωρ, ἐάν τις βούληται συλλέγειν· ὥστε
ὅσοις λείπεταί τι, τοῦτο γῆς. ἔνια δὲ τούτων καὶ ὑπὸ ψυχροῦ ὥσπερ
εἴρηται, παχύνεται καὶ ξηραίνεται· τὸ γὰρ ψυχρὸν οὐ μόνον πήγνυσι καὶ ξηραί-
νει, ἀλλὰ καὶ παχύνει· ξηραίνει μὲν τὸ ὕδωρ· παχύνει δὲ τὸν ἀέρα· ὕδωρ
ποιοῦν

Marginal notes (left):
Myle
γύψω tectoriorũ cineri · Alcyo ·
Myle
Nitrũ
Sal.
De natura olei notadũ nõ congelari frigore neq: igne · sed ab utro q: crassitudine adipisci tur
Oleũ plenũ esse aere
frigor nõ tantũ geladi & indurandi sed etiã crassitudinis faciendę facultatẽ habet



ποιοῦν· καὶ ἡ πῆξις εἴρηται ξηρασία τις οὖσα. ὅσα μὲν οὖν μὴ παχύνε-
ται ὑπὸ τοῦ ψυχροῦ ἀλλὰ πήγνυται, ὕδατός ἐστι μᾶλλον· οἷον οἶνος
καὶ οὖρον καὶ ὄξος καὶ κονία καὶ ὀρρός· ὅσα δὲ παχύνεται μὴ ἐξατμί-
ζοντα ὑπὸ πυρός, τὰ μὲν γῆς, τὰ δὲ κοινὰ ὕδατος καὶ ἀέρος· μέλι μέν, γῆς· ἔ-
λαιον δέ, ἀέρος· καὶ ὕδατος δ' ἐστὶ καὶ τὸ γάλα καὶ τὸ αἷμα, ἀμφοῖν μὲν κοινά·
καὶ ὕδατος καὶ γῆς· μᾶλλον δὲ τὰ πολλά, γῆς· ὥσπερ καὶ ἐξ ὅσων ὑγρῶν
νίτρον γίνεται καὶ ἅλες· καὶ λίθοι δ' ἐκ τῶν συνίστανται τοιούτων· διὸ ἐὰν
μὴ χωρισθῇ ὁ ὀρρός, ἐκκαίεται ὑπὸ τοῦ πυρὸς ἑψόμενος· τὸ δὲ γεῶδες
συνίσταται καὶ ὑπὸ τοῦ ὀποῦ, ἐάν τις ἑψήσῃ, οἷον οἱ ἰατροὶ ὀπίζοντες·
οὕτω δὲ χωρίζεται ὁ ὀρρὸς καὶ ὁ τυρός· ὁ δὲ χωρισθεὶς ὀρρός, οὐκέτι πα-
χύνεται, ἀλλ' ἐκκαίεται ὥσπερ ὕδωρ· εἰ δέ τι μὴ ἔχει τυροῦ γάλα, ἢ ὀλί-
γον, τοῦτο μᾶλλον ὕδατος καὶ ἄτροφον· καὶ τὸ αἷμα ὁμοίως· πήγνυται
γὰρ τῷ ξηραίνεσθαι ψυχόμενον· ὅσα δὲ μὴ πήγνυται οἷον τὸ τῆς ἐ-
λάφου, ταῦτα τοιαῦτα ὕδατος μᾶλλον καὶ ψυχρότατα· διὸ καὶ οὐκ
ἔχει ἶνας· αἱ γὰρ ἶνες εἰσὶ γῆς καὶ στερεοῦ· ὥστε καὶ ἐξαιρεθεισῶν οὐ πή-
γνυται· τοῦτο δ' ἐστίν, ὅτι οὐ ξηραίνεται· ὕδωρ γὰρ τὸ λοιπόν, ὥσπερ τὸ γάλα
τοῦ τυροῦ ἐξαιρεθέντος· σημεῖον δὲ καὶ ὅτι τὰ νοσώδη αἵματα, οὐ θέλει
πήγνυσθαι· ἰχωροειδῆ γάρ· τοῦτο δὲ φλέγμα καὶ ὕδωρ· διὰ τὸ ἄπεπτον
εἶναι καὶ ἀκράτητον ὑπὸ τῆς φύσεως. ἔτι δὲ τὰ μὲν λυτά ἐστιν, οἷον νί-
τρον· τὰ δέ, ἄλυτα, οἷον κέραμος· καὶ τούτων τὰ μέν, μαλακτά· οἷον
κέρας· τὰ δέ, ἀμάλακτα, οἷον κέραμος καὶ λίθος· αἴτιον, ὅτι τἀναντία τῶν
ἐναντίων αἴτια· ὥστ' εἰ πήγνυται δυοῖν, ψυχρῷ καὶ ξηρῷ, λύεσθαι ἀνάγκη
θερμῷ καὶ ὑγρῷ· διὸ πυρὶ καὶ ὕδατι· ταῦτα γὰρ ἐναντία· ὕδατι μὲν ὅσα πυ-
ρὶ μόνῳ· πυρὶ δέ, ὅσα ψυχρῷ μόνῳ· ὥστ' εἰ ὑπ' ἀμφοῖν συμβαίνει πή-
γνυσθαι, ταῦτα ἄλυτα μάλιστα· γίνεται δὲ ταῦτα, ὅσα θερμανθέντα
ἔπειτα τῷ ψυχρῷ πήγνυται· συμβαίνει γὰρ ὅταν τὸ θερμὸν ἐξικμάσῃ ἐ-
ξιόν, τὸ πλεῖστον ὑγρὸν συνθλίβεσθαι πάλιν ὑπὸ τοῦ ψυχροῦ, ὥστε μηδ' ὑ-
γρῷ διδόναι δίοδον· καὶ διὰ ταῦτα οὔτε τὸ θερμὸν λύει· ὅσα γὰρ ὑπὸ ψυχροῦ
πήγνυται μόνου, ταῦτα λύει· οὔθ' ὑπὸ ὕδατος· ὅσα γὰρ ὑπὸ ψυχροῦ πή-
γνυται, οὐ λύει· ἀλλ' ὅσα ὑπὸ θερμοῦ ξηροῦ μόνον. ὁ δὲ σίδηρος τακεὶς



Marginal notes (right):
frigoris opera nõ crassescere sed gelari
Vinũ
Lotiũ
Acetũ
Lixiuiũ
Serũ
Mel — ὀπίζοντες ἰατροί
Oleũ
Lac
Sanguis
Nitrũ
Sal
Serũ
Caseus
Cerui sanguinẽ nõ coire
ἶνες fibrę Alcy.
Sanguis uitiatus & corruptus nõ coit
ἰχωροειδῆς saniosus Al
Saniẽ pituitam esse & aquam
τὰ ἐναντία τῶν ἐναντίων αἴτια

·/· deest μηδ᾽ ἄνευ
ex alexandro &
eo quod sequitur

ὑπὸ θερμοῦ, ψυχθέντος ὑγροῦ. ὥστε ὑπὸ πυρὸς ἀμφοτέρων ἐστί. διὸ ἄλυτον.
τὰ δὲ ξύλα ἐστὶ γῆς καὶ ἀέρος. διὸ καυστὰ καὶ οὐ τηκτά. ἡ δὲ μα-
λακτά. καὶ ἐπὶ τῷ ὕδατι ἐπιπλεῖ. πλὴν ἐβένου. αὕτη δ᾽ οὔ. τῶν μὲν
γὰρ ἄλλων ἀέρος ἔχει πλεῖον. ἐκ δὲ τῆς ἐβένου τῆς μελαίνης διαπέ-
πνευκεν ὁ ἀήρ. καὶ ἔστι πλεῖον ἐν αὐτῇ γῆς. κέραμος δὲ γῆς μόνης διὰ
τὸ ξηραινόμενον παγῆναι κατὰ μικρόν. οὔτε γὰρ τὸ ὕδωρ εἴσοδον
ἔχει δι᾽ ὧν μόνον πνεῦμα ἐξῆλθεν. οὔτε πῦρ. ἔπηξε γὰρ αὐτό. τί μὲν
οὖν ἐστι πῆξις καὶ τῆξις καὶ διὰ πόσα καὶ ἐν πόσοις ἐστίν, εἴρηται.
Ἐκ δὲ τούτων φανερὸν ὅτι ὑπὸ θερμοῦ καὶ ψυχροῦ συνίσταται τὰ σώ-
ματα. ταῦτα δὲ παχύνοντα καὶ πηγνύντα, ποιεῖται τὴν ἐργασίαν
αὐτῶν. διὰ δὲ τὸ ὑπὸ τούτων δημιουργεῖσθαι ἐν ἅπασιν ἔστι θερμότης,
τισὶ δὲ καὶ ψυχρότης ᾗ ἐκλείπει. ὥστ᾽ ἐπεὶ ταῦτα μὲν ὑπάρχει διὰ
τὸ ποιεῖν, ὑγρὸν δὲ καὶ ξηρὸν διὰ τὸ πάσχειν, μετέχει αὐτῶν τὰ κοινὰ
πάντων. ἐκ μὲν οὖν ὕδατος καὶ γῆς, τὰ ὁμοιομερῆ σώματα συνίσταται,
καὶ ἐν φυτοῖς καὶ ἐν ζῴοις. καὶ τὰ μεταλλευόμενα. οἷον χρυσὸς καὶ ἄργυ-
ρος. καὶ ὅσα ἄλλα τοιαῦτα. ἐξ αὐτῶν τε καὶ τῆς ἀναθυμιάσεως τῆς
ἑκατέρου ἐγκατακλειομένης ὥσπερ εἴρηται ἐν ἄλλοις. ταῦτα δὲ δια-
φέρει ἀλλήλων τοῖς τε πρὸς τὰς αἰσθήσεις ἰδίοις ἅπαντα. καὶ τῷ ποιεῖν δύ-
νασθαι λευκόν, καὶ εὐῶδες, καὶ ψοφητικόν, καὶ γλυκύ, καὶ θερμόν, καὶ ψυχρόν.
τῷ ποιεῖν τι δύνασθαι τὴν αἴσθησιν ἐστὶ καὶ ἄλλοις οἰκειοτέροις πάθε-
σιν ὅσα τῷ πάσχειν λέγεται. λέγω δ᾽ οἷον τὸ τηκτόν. καὶ τὸ πηκτόν. καὶ καμπτόν.
καὶ ὅσα ἄλλα τοιαῦτα ἅπαντα. ἅπαντα γὰρ τὰ τοιαῦτα παθητικά,
ὥσπερ τὸ ὑγρὸν καὶ τὸ ξηρόν. τούτοις δὲ διαφέρει ὀστοῦν καὶ σὰρξ καὶ νεῦ-
ρον. καὶ ξύλον. καὶ φλοιός. καὶ λίθος. καὶ τῶν ἄλλων ἕκαστον τῶν ὁμοιομερῶν μέν,
φυσικῶν δὲ σωμάτων. εἴπωμεν δὲ πρῶτον τὸν ἀριθμὸν αὐτῶν, ὅσα κατὰ δύ-
ναμιν καὶ ἀδυναμίαν λέγεται. ἔστι δὲ τάδε. τηκτόν. ἄτηκτον. πηκτόν.
ἄπηκτον. μαλακτόν. ἀμάλακτον. τεγκτόν. ἄτεγκτον. καμπτόν. ἄκαμ-
πτον. κατακτόν. ἀκάτακτον. θραυστόν. ἄθραυστον. θλαστόν. ἄθλαστον. πλα-
στόν. ἄπλαστον. πιεστόν. ἀπίεστον. ἑλκτόν. ἄνελκτον. ἐλατόν. ἀνέλατον. σχι-
στόν. ἄσχιστον. τμητόν. ἄτμητον. γλίσχρον. ψαθυρόν. πιλητόν. ἄπιλη-
τον. καυστόν. ἄκαυστον. θυμιατόν. ἀθυμίατον. ταῦτα μὲν οὖν πλεῖστα

ebenū nigrā nō fluitare in aq̄ cum ligna omnia fluitent.

fictile κέραμος

Omnia mixta corpora cōstare ex frigido & calido humido & sicco duob[us] priorib[us] tanq̄m agētib[us] posteriorib[us] tanquam patientib[us]

Ex terra & aq̄ fieri similares partes in animalibus & stirpib[us] & item metallorum genera

τεγκτόν · tinctile
ἄτεγκτον nō tinctile
θραυστόν ruptile
θλαστόν fragile
ἐλατόν ductile
σχιστόν · fissile
ἄσχιστον
τμητόν Dimidium
ἄτμητον
Al.
Al.



σχεδὸν τῶν σωμάτων τούτοις διαφέρει τοῖς πάθεσι. τίνα δὲ ἕκαστον τού-
των ἔχει δύναμιν, εἴπωμεν νῦν. περὶ μὲν οὖν πηκτοῦ καὶ ἀπήκτου,
καὶ τηκτοῦ καὶ ἀτήκτου, εἴρηται μὲν καθόλου πρότερον. ὅμως δ᾽ ἐπανέλ-
θωμεν καὶ νῦν. τῶν σωμάτων ὅσα πήγνυται καὶ σκληρύνεται, τὰ μὲν
ὑπὸ θερμοῦ πάσχει τοῦτο, τὰ δ᾽ ὑπὸ ψυχροῦ. ὑπὸ μὲν τοῦ θερμοῦ ξηραί-
νοντος τὸ ὑγρόν. ὑπὸ δὲ τοῦ ψυχροῦ ἐκθλίβοντος τὸ θερμόν. ὥστε
τὰ μὲν ὑγροῦ ἀπουσίᾳ, τὰ δὲ θερμοῦ τοῦτο πάσχει. ὅσα μὲν ὕδα-
τος θερμοῦ. ὅσα δὲ γῆς ὑγροῦ. τὰ μὲν οὖν ὑγροῦ ἀπουσίᾳ, ὑπὸ ὑγροῦ διατήκε-
ται ἂν μὴ οὕτως συνέλθῃ, ὥστε ἐλάττους τοὺς πόρους λελεῖφθαι τῶν
τοῦ ὕδατος ὄγκων. οἷον ὁ κέραμος. ὅσα δὲ μὴ οὕτω, πάντα τὰ ὑγρῷ τή-
κεται. οἷον νίτρον, ἅλες, γῆ ἐκ πηλοῦ. τὰ δὲ θερμοῦ στερήσει, ὑπὸ θερ-
μοῦ τήκεται. οἷον κρύσταλλος. μόλιβδος. χαλκός. τίνα μὲν οὖν πηκ-
τὰ καὶ τηκτά, εἴρηται. καὶ τίνα ἄτηκτα. ἄπηκτα δὲ ὅσα μὴ ἔχει ὑγρότη-
τα ὑδατώδη. μηδ᾽ ὕδατός ἐστιν. ἀλλὰ πλεῖον θερμοῦ καὶ γῆς. οἷον
μέλι καὶ γλυκὺς οἶνος. ὥσπερ ζέοντα γάρ ἐστι. καὶ ἄπηκτα ὅσα ὕδα-
τος μὲν ἔχει, ἔστι δὲ πλεῖον ἀέρος. ὥσπερ τὸ ἔλαιον καὶ ἄργυρος χυτός. καὶ
εἴ τι γλίσχρον, οἷον ἰξὸς καὶ πίττα. μαλακτὰ δέ ἐστι τῶν πεπηγότων
ὅσα μὴ ἐξ ὕδατος, οἷον κρύσταλλος. ὕδατος γάρ. ἀλλ᾽ ὅσα
γῆς μᾶλλον. καὶ μήτ᾽ ἐξικμάσθαι πᾶν τὸ ὑγρόν, ὥσπερ ἐν νίτρῳ καὶ ἁλ-
σί. μήτ᾽ ἔχει ἀνωμάλως, ὥσπερ ὁ κέραμος. ἀλλ᾽ ὅσα εἰσὶν ἑλκτά, μὴ ὄν-
τα διαντά. ἢ ἐλατά, μὴ ὄντα ὕδατος. καὶ μαλακτὰ πυρί. οἷον σί-
δηρος. καὶ κέρας. καὶ ξύλα. ἔστι δὲ καὶ τῶν τηκτῶν καὶ τῶν ἀτήκτων τὰ μὲν τεγ-
κτά, τὰ δὲ ἄτεγκτα. οἷον χαλκὸς ἄτεγκτον τηκτὸν ὄν. ἔριον δὲ καὶ γῆ
τεγκτόν. βρέχεται γάρ. καὶ χαλκὸς μὲν δὴ τηκτόν. οὐχ ὑπὸ ὕδατος δὲ τηκ-
τόν. ἀλλὰ καὶ τῶν ὑπὸ ὕδατος τηκτῶν ἔνια ἄτεγκτα. οἷον νίτρον καὶ ἅ-
λες. οὐδὲν γὰρ ἄτεγκτον λέγεται ὃ μὴ μαλακώτερον γίνεται
βρεχόμενον. ἔνια δὲ τεγκτὰ ὄντα, οὐ τηκτά ἐστιν. οἷον ἔριον καὶ οἱ καρ-
ποί. ἔστι δὲ τεγκτὰ μὲν ὅσα γῆς ὄντα, ἔχει τοὺς πόρους μείζους τῶν
τοῦ ὕδατος ὄγκων, σκληροτέρων τοῦ ὕδατος. τηκτὰ δὲ ὑ-
δατι ὅσα δι᾽ ὅλου. διὰ τί δ᾽ οὖν ἡ μὲν γῆ καὶ τήκεται καὶ τέγγεται ὑπὸ



De concretili & incōcretili

Nitrū
Sales

Mel
Dulce uinū
Oleū incōcretile esse
Argentū uiuū ἄργυρος χυτός
ἰξός uiscū

Nitrū
Sal
τεγκτόν · i · tinctile solū esse quod aq̄ humectū nō redditur molli[us]

τεγκτοῦ · i · tinctilis diffinitio

τοῦ ὑγροῦ. τὸ δὲ νίτρον τήκεται μέν· τέγγεται δ' οὔ· ὅτι ἐν μὲν τῷ νίτρῳ διόλου οἱ πόροι· ὥστε διαιρεῖται εὐθὺς ὑπὸ τοῦ ὕδατος τὰ μόρια· ἐν δὲ τῇ γῇ καὶ παραλλὰξ εἰσὶ πόροι· ὥστε ὁποτέρως ἂν δέξηται, διαφέρει τὸ πάθος. ἔστι δὲ καὶ τὰ μὲν καμπτὰ καὶ εὐθυντά· οἷον κάλαμος καὶ λύγος· τὰ δὲ ἄκαμπτα τῶν σωμάτων, οἷον κέραμος καὶ λίθος. ἔστι δὲ καμπτὰ μὲν καὶ εὐθυντά, οἷον σωμάτων τὸ μῆκος δύναται εἰς εὐθύτητα ἐκ περιφερείας· καὶ ἐξ εὐθύτητος εἰς περιφέρειαν μεταβάλλειν· καὶ τὸ κάμπτεσθαι, καὶ τὸ εὐθύνεσθαι ἐστί, τὸ εἰς εὐθύτητα ἢ περιφέρειαν συνίστασθαι ἢ κινεῖσθαι· καὶ γὰρ τὸ ἀνακαμπτόμενον, καὶ τὸ κατακαμπτόμενον, κάμπτεται· ἡ μὲν οὖν εἰς κυρτότητα ἢ κοιλότητα κίνησις, τοῦ μήκους σωζομένου, κάμψις ἐστίν· εἰ γὰρ καὶ εἰς τὸ εὐθύ, εἴη ἅμα κεκαμμένον καὶ εὐθύ· ὅπερ ἀδύνατον τὸ εὐθὺ κεκάμφθαι· καὶ εἰ κάμπτεται, πάντως ἢ ἀνακάμψει, ἢ κατακάμψει· τούτων γὰρ τὸ μὲν εἰς τὸ κυρτόν· τὸ δ' εἰς τὸ κοῖλον μετάβασις, οὐκ ἂν εἴη καὶ εἰς τὸ εὐθὺ κάμψις· ἀλλ' ἔστι κάμψις καὶ εὔθυνσις ἄλλο· καὶ ταῦτα ἐστὶ καμπτὰ καὶ εὐθυντά· καὶ ἄκαμπτα, καὶ ἀνεύθυντα· καὶ τὰ μὲν κατακτά, καὶ θραυστά, ἅμα ἢ χωρίς· οἷον ξύλον· κατακτὸν μέν· θραυστὸν δ' οὔ· κρύσταλλος δὲ καὶ λίθος θραυστόν· κατακτὸν δ' οὔ· κέραμος δέ, καὶ θραυστὸν· καὶ κατακτόν· διαφέρει δὲ ὅτι κάταξις μέν ἐστιν εἰς μεγάλα μέρη διαίρεσις καὶ χωρισμός· θραῦσις δέ, ἡ εἰς τὰ τυχόντα καὶ πλείω δυοῖν· ὅσα μὲν οὖν οὕτω πέπηγεν, ὥστε πολλοὺς ἔχειν παραλλάττοντας πόρους, θραυστά· μέχρι γὰρ τούτου διίσταται· ὅσα δ' εἰς πολύ, κατακτά· ὅσα δ' ἄμφω, ἀμφότερα· καὶ τὰ μὲν θλαστά, οἷον χαλκός καὶ κηρός· τὰ δὲ ἄθλαστα· οἷον κέραμος καὶ ὕδωρ· ἔστι δὲ θλάσις μὲν ἐπιπέδου κατὰ μέρος εἰς βάθος μετάστασις, ὤσει ἢ πληγῇ· τὸ δ' ὅλον ἁφῇ· ἔστι δὲ τὰ τοιαῦτα καὶ μαλακτά· οἷον κηρός· μένοντος τοῦ ἄλλου ἐπιπέδου, κατὰ μέρος μεθίσταται· καὶ σκληρά· οἷον χαλκός· καὶ ἄθλαστα· καὶ σκληρά· οἷον κέραμος· οὐ γὰρ ὑπείκει εἰς βάθος τὸ ἐπίπεδον· καὶ ὑγρά· οἷον ὕδωρ· ὑπείκει μὲν· ἀλλ' οὐ κατὰ μέρος· ἀλλ' ἀντιμεθίσταται· τῶν δὲ θλαστῶν ὅσα μὲν μένει θλασθέντα καὶ εὔθλαστα χειρί,

ταῦτα μὲν

λύγος. Vime. Alcyoni)

κυρτοῦ . deuexi

κοίλου . concaui

κατακτά ruptilia

θραυστά fragilia

κάταξις / θραῦσις Dr a

θλαστά impressilia



ταῦτα μὲν πλαστά· τὰ δὲ ἢ μὴ εὔθλαστα, ὥσπερ λίθος ἢ ξύλον· ἢ εὔθλαστα μέν· μὴ μένει δὲ ἡ θλάσις ὥσπερ ἐρίου ἢ σπόγγου· οὐ πλαστά· ἀλλὰ πιεστὰ ταῦτ' ἐστίν· ἔστι δὲ πιεστά, ὅσα ὠθούμενα, εἰς αὑτὰ συνιέναι δύναται, εἰς βάθος τοῦ ἐπιπέδου παραλλάττοντος· οὐ διαιρουμένου καὶ μὴ μεθισταμένου ἄλλου ἄλλῳ μορίου· οἷον τὸ ὕδωρ ποιεῖ· τοῦτο γὰρ ἀντιμεθίσταται· ἔστι δὲ ὦσις· ἡ κίνησις ὑπὸ τοῦ κινοῦντος ἡ γίνεται ἀπὸ τῆς ἁφῆς· πληγὴ δέ, ὅταν ἀπὸ τῆς φορᾶς· πιέζεται δ' ὅσα πόρους ἔχει κενούς, συγγενοῦς σώματος· καὶ πιεστὰ ταῦτα, ὅσα δύναται εἰς τὰ ἐν αὑτοῖς κενὰ συνιέναι ἢ εἰς τοὺς ἐν αὑτοῖς πόρους· ἐνίοτε γὰρ οὐ κενοί εἰσιν εἰς οὓς συνέρχεται· οἷον ὁ βεβρεγμένος σπόγγος· πλήρεις γὰρ αὐτοῦ οἱ πόροι· ἀλλ' ὧν ἂν οἱ πόροι πλήρεις ὦσι μαλακωτέρων, ἢ αὐτὸ τὸ πεφυκὸς συνιέναι εἰς αὑτό· πιεστὰ μὲν οὖν ἐστιν οἷον σπόγγος· ἔριον· κηρός· σάρξ· ἀπίεστα δὲ τὰ μὴ πεφυκότα συνιέναι ὤσει εἰς τοὺς ἐν αὑτῷ πόρους διὰ τό, ἢ μὴ ἔχειν, ἢ σκληροτέρων ἔχειν πλήρεις· ὁ γὰρ σίδηρος, ἀπίεστος καὶ λίθος καὶ ὕδωρ καὶ πᾶν ὑγρόν· ἑλκτὰ δέ ἐστιν, ὅσων δύναται εἰς τὸ πλάγιον μεθίστασθαι τὸ ἐπίπεδον· τὸ γὰρ ἕλκεσθαι ἐστί, τὸ ἐπὶ τὸ κινοῦν μεθίστασθαι τὸ ἐπίπεδον· συνεχὲς ὄν· ἔστι δὲ τὰ μὲν ἑλκτά, οἷον θρίξ· ἱμάς· νεῦρον· σταίς· ἰξός· τὰ δὲ ἄνελκτα, οἷον ὕδωρ καὶ λίθος· τὰ μὲν οὖν, ταὐτά ἐστιν ἑλκτὰ καὶ πιεστά· οἷον ἔριον· τὰ δ' οὐ ταὐτά· οἷον φλέγμα· πιεστὸν μὲν οὐκ ἔστι· ἑλκτὸν δέ· καὶ ὁ σπόγγος πιεστὸν μέν, οὐχ ἑλκτὸν δέ· ἔστι δὲ καὶ τὰ μὲν ἐλατά· οἷον χαλκός· τὰ δὲ ἀνέλατα· οἷον λίθος καὶ ξύλον· ἔστι δὲ ἐλατὰ μέν, ὅσα τῇ αὐτῇ πληγῇ δύναται ἅμα καὶ εἰς πλάτος καὶ εἰς βάθος τὸ ἐπίπεδον μεθίστασθαι κατὰ μέρος· ἀνέλατα δέ, ὅσα ἀδύνατα· ἔστι δὲ τὰ μὲν ἐλατὰ ἅπαντα, καὶ θλαστά· τὰ δὲ θλαστά, οὐ πάντα ἐλατά· οἷον ξύλον· ὡς μέντοι ἐπίπαν εἰπεῖν, ἀντιστρέφει· τῶν δὲ πιεστῶν, τὰ μὲν ἐλατά, τὰ δ' οὔ· κηρὸς μὲν καὶ πηλός, ἐλατά· ἔριον δ' οὔ· οὐδὲ ὕδωρ· ἔστι δὲ καὶ τὰ μὲν σχιστά, οἷον ξύλον· τὰ δὲ ἄσχιστα οἷον κέραμος· ἔστι δὲ σχιστόν, τὸ δυνάμενον διαιρεῖσθαι

C Γ ii

πιεστά compressilia

ἀντιμεθίσταται transponitur

ὦσις .i. pulsus

πιεστά quae dicatur

ἑλκτά tractilia

σταὶς massa triticea

ἐλατά ductilia

∴ supfluit ut liquet ex sensu & traductiõe



ἐπὶ πλεῖον ἢ τὸ διαιροῦν διαιρεῖ σχίζεται· ὅταν ἐπὶ πλεῖον διαιρῆται ἢ τὸ διαιροῦν διαιρεῖ καὶ προηγεῖται ἡ διαίρεσις· ἐν δὲ τῇ τμήσει οὐκ ἔστι. τοῦτο δ' ἄσχιστα δὲ ὅσα μὴ δύναται τοῦτο πάσχειν. ἔστι δὲ οὔτε μαλακὸν οὐδὲν σχιστόν, λέγω δὲ τῶν ἁπλῶς μαλακῶν, καὶ μὴ πρὸς ἄλληλα· οὕτω μὲν γὰρ καὶ σίδηρος ἔσται μαλακός· οὔτε τὰ σκληρὰ πάντα, ἀλλ' ὅσα μήθ' ὑγρά ἐστι μήτε θλαστὰ μήτε θραυστά· τοιαῦτα δ' ἐστὶν ὅσα κατὰ μῆκος ἔχει τοὺς πόρους καθ' οὓς προσφύεται ἀλλήλοις, ἀλλὰ μὴ κατὰ πλάτος. τμητὰ δ' ἐστὶ τῶν συνεστώτων τῶν σκληρῶν ἢ μαλακῶν, ὅσα δύναται μήτ' ἐξ ἀνάγκης προηγεῖσθαι τῆς διαιρέσεως, μήτε θραύεσθαι διαιρούμενα· ὅσα δὲ ἢ ὑγρὰ ἢ τοιαῦτα, ἄτμητα. ἔνια δ' ἐστὶ ταὐτὰ καὶ τμητὰ καὶ σχιστά, οἷον ξύλον· ἀλλ' ὡς ἐπὶ τὸ πολὺ σχιστὸν μὲν κατὰ τὸ μῆκος, τμητὸν δὲ κατὰ πλάτος· ἐπεὶ γὰρ διαιρεῖται ἕκαστον εἰς πολλά, ᾗ μὲν μήκη πολλὰ τὸ ἕν, σχιστὸν ταύτῃ, ᾗ δὲ πλάτη πολλὰ τὸ ἕν, τμητὸν ταύτῃ. γλίσχρον δ' ἐστὶν ὅταν ἔνυγρον ὂν ἢ μαλακὸν ἑλκτὸν ᾖ. τοιοῦτον δὲ γίνεται τῇ ἐπαλλάξει, ὅσα ὥσπερ αἱ ἁλύσεις σύγκειται τῶν σωμάτων· ταῦτα γὰρ ἐπὶ πολὺ δύναται ἐκτείνεσθαι καὶ συνιέναι. ὅσα δὲ μὴ τοιαῦτα, ψαθυρά. πιλητὰ δέ, ὅσα τῶν πιεστῶν μόνιμον ἔχει τὴν πίεσιν. ἃ τὰ μὲν καυστά ἐστι, τὰ δὲ ἄκαυστα· οἷον ξύλον μὲν καυστὸν καὶ ἔριον καὶ ὀστοῦν, λίθος δὲ καὶ κρύσταλλος ἄκαυστον. ἔστι δὲ καυστὰ ὅσα ἔχει πόρους δεκτικοὺς πυρὸς καὶ ὑγρότητα ἐν τοῖς κατ' εὐθυωρίαν πόροις ἀσθενεστέραν πυρός· ὅσα δὲ μὴ ἔχει ἢ ἰσχυροτέραν, οἷον κρύσταλλος καὶ τὰ σφόδρα χλωρά, ἄκαυστα. θυμιατὰ δ' ἐστὶ τῶν σωμάτων ὅσα ὑγρότητα ἔχει μέν, οὕτω δ' ἔχει ὥστε μὴ ἐξατμίζειν πυρούμενα χωρίς. ἔστι γὰρ ἀτμὶς ἡ ὑπὸ θερμοῦ καυστικοῦ εἰς ἀέρα καὶ πνεῦμα ἔκκρισις ἐξ ὑγροῦ διαντική. τὰ δὲ θυμιατὰ χρόνῳ εἰς ἀέρα ἐκκρίνεται, καὶ τὰ μὲν ἀφανιζόμενα ξηρά, τὰ δὲ γῆ γίνεται. διαφέρει δ' αὕτη ἡ ἔκκρισις ὅτι οὔτε διαίνει οὔτε πνεῦμα γίνεται. ἔστι δὲ πνεῦμα ῥύσις συνεχὴς ἐπὶ μῆκος ἀέρος. θυμίασις δ' ἐστὶν ἡ ὑπὸ θερμοῦ καυστικοῦ κοινὴ ἔκκρισις ξηροῦ καὶ ὑγροῦ ἅμα· διόπερ οὐ διαίνει, ἀλλὰ χρωματίζει μᾶλλον.

ἔστι δ' ἡ μὲν

*σχιστόν / τμητόν > fissile / a Dr / Diuiduũ*

*γλίσχρον lentũ*

*ψαθυρά friabilia*

*πιλητά subactilia*

*καυστά cremabilia*

*θυμιατά corpora halitu siue suffitu apta. Al.*

*ἀτμίδος .i. euaporationis diffinitio*

*Suffitu apta procedẽte tempore in aere seuocantur*

*Flatus diffo*

*Suffitus diffo*



ἔστι δ' ἡ μὲν ξυλώδους σώματος θυμίασις καπνός. λέγω γὰρ ὁμοίως καὶ ὀστᾶ καὶ τρίχας καὶ πᾶν τὸ τοιοῦτον ἐν ταὐτῷ· οὐ γὰρ κεῖται ὄνομα κοινόν, ἀλλὰ κατ' ἀναλογίαν ὅμως ἐν ταὐτῷ πάντ' ἐστίν, ὥσπερ καὶ Ἐμπεδοκλῆς φησι·

T ταὐτὰ τρίχες καὶ φύλλα καὶ οἰωνῶν πτερὰ πυκνά

K καὶ λεπίδες γίνονται ἐπὶ στιβαροῖσι μέλεσσιν.

ἡ δὲ πίονος θυμίασις λιγνύς, ἡ δὲ λιπαροῦ κνῖσα. διὰ τοῦτο τὸ ἔλαιον οὐχ ἕψεται οὐδὲ παχύνεται, ὅτι θυμιατόν ἐστιν ἀλλ' οὐκ ἀτμιστόν· ὕδωρ δ' οὐ θυμιατὸν ἀλλ' ἀτμιστόν. οἶνος δὲ ὁ μὲν γλυκὺς θυμιᾶται· πίων γὰρ καὶ ταὐτὰ ποιεῖ τῷ ἐλαίῳ· οὔτε γὰρ ὑπὸ ψύχους πήγνυται καὶ καίεται. ἔστι δ' ὀνόματι οἶνος, ἔργῳ δ' οὐκ ἔστιν· οὐ γὰρ οἰνώδης ὁ χυμός· διὸ καὶ οὐ μεθύσκει ὁ τυχών. ὁ δὲ οἶνος μεθύσκει δηλαδή· μικρὰν δ' ἔχει θυμίασιν· διὸ καὶ ἀνίησι φλόγα. καυστὰ δὲ δοκεῖ εἶναι ὅσα εἰς τέφραν διαλύεται τῶν σωμάτων. πάσχει δὲ τοῦτο πάντα ὅσα πήγνυται ὑπὸ θερμοῦ ἢ ὑπ' ἀμφοῖν, ψυχροῦ καὶ θερμοῦ· ταῦτα γὰρ φαίνεται κρατούμενα ὑπὸ τοῦ πυρός. ἥκιστα δὲ τῶν λίθων ἡ σφραγὶς ὁ καλούμενος ἄνθραξ. τῶν δὲ καυστῶν τὰ μὲν φλογιστά, τὰ δ' ἀφλόγιστα, καὶ τούτων ἔνια ἀνθρακευτά. φλογιστὰ μὲν οὖν ὅσα φλόγα δύναται παρέχειν· ὅσα δὲ μὴ δύναται, ἀφλόγιστα. ἔστι δὲ φλογιστὰ ὅσα μὴ ὑγρὰ ὄντα θυμιατά ἐστι· πίττα δὲ ἢ ἔλαιον ἢ κηρὸς μᾶλλον μετ' ἄλλων ἢ καθ' αὑτὰ φλογιστά. μάλιστα δ' ὅσα καπνὸν ἀφίησιν. ἀνθρακευτὰ δὲ ὅσα τῶν τοιούτων γῆς πλεῖον ἔχει ἢ καπνοῦ. ἔτι δ' ἔνια τηκτὰ ὄντα οὐ φλογιστά ἐστιν, οἷον χαλκός, καὶ φλογιστὰ οὐ τηκτά, οἷον ξύλα, τὰ δ' ἄμφω, οἷον λιβανωτός. αἴτιον δ' ὅτι τὰ μὲν ξύλα ἀθρόον ἔχει τὸ ὑγρὸν καὶ δι' ὅλου συνεχές, ὥστε διακαίεται· ὁ δὲ χαλκὸς παρ' ἕκαστον μὲν μέρος, οὐ συνεχὲς δὲ καὶ ἔλαττον ἢ ὥστε φλόγα ποιῆσαι· ὁ δὲ λιβανωτὸς τῇ μὲν οὕτως, τῇ δὲ ἐκείνως ἔχει. φλογιστὰ δ' ἐστὶ τῶν θυμιατῶν ὅσα μὴ τηκτά ἐστι, διὰ τὸ μᾶλλον εἶναι γῆς. τὸ ξηρὸν γὰρ ἔχει κοινὸν τῷ πυρί· τοῦτο οὖν θερμὸν ἂν γένηται τὸ ξηρόν, πῦρ γίνεται. διὰ τοῦτο ἡ φλὸξ πνεῦμα ἢ καπνός ἐστι καιόμενος. ξύλων μὲν οὖν ἡ θυμίασις καπνός, κηροῦ δὲ καὶ λιβανωτοῦ καὶ πίττης καὶ τῶν τοιούτων, καὶ ὅσα ἔχει πίτταν ἢ τοιαῦτα, λιγνύς· ἐ

*fumus qd*

*Empedocles*

*Axungie halitus .i. πίονος dicitur grece λιγνύς. Alcyo. uertit fuligine aut graueolentiam*

*κνίσα . est halitus pinguitudinis . alcyoni nidor*

*Vinu dulce pingue & nõ congelatur à frigore sicut neq: oleum*

*Cremabilia corpora que sint*

*Sphragis lapis q & carbo dicitur nõ domat ab igne*

*φλογιστά .i. flamabilia*

*In carbones uertibilia .i. ἀνθρακευτά . que sint*

*flamme diffo*

*fumi diffo*

*fumi .i. καπνοῦ*

*Dr < Graueolẽtie .i. λιγνύος / Nidoris .i. κνίσης*

λαίουσι δὲ καὶ ὅσα ἐλαιώδη, κνίσα· καὶ ὅσα ἥκιστα καίεται μόνα· ὅτι ὀλίγον ξηρὸν ἔχει· ἡ δὲ μετάβασις διὰ τούτου· μετὰ δὲ τέρου τάχιστα· τοῦτο δ' ἐστὶ τὸ πῖον· ἡ δὲ εἰς τὸ πῦρ μεταβολὴ διὰ τοῦ ξηροῦ· (ξηρὸν γὰρ τὸ πῦρ·) ξηρὸν λιπαρόν· τὰ μὲν οὖν ἐκθυμιώμενα τῶν ὑγρῶν, ὑγροῦ μᾶλλον· τὰ δὲ καόμενα, ξηροῦ. τούτοις δὲ τοῖς παθήμασι καὶ ταύταις ταῖς διαφοραῖς τὰ ὁμοιομερῆ τῶν σωμάτων, ὥσπερ εἴρηται διαφέρει ἀλλήλων κατὰ τὴν ἁφήν· καὶ ἔτι ὀσμαῖς καὶ χυμοῖς καὶ χρώμασι. λέγω δ' ὁμοιομερῆ, οἷον τά τε μεταλλευόμενα· χρυσὸν· χαλκὸν· ἄργυρον· καττίτερον, σίδηρον· λίθον καὶ τἄλλα τὰ τοιαῦτα· καὶ ὅσα ἐκ τούτων γίνεται ἐκκρινόμενα· καὶ τὰ ἐν τοῖς ζώοις καὶ φυτοῖς· οἷον σάρκες· ὀστᾶ· νεῦρον· δέρμα· σπλάγχνα· τρίχες· ἶνες· φλέβες· ἐξ ὧν ἤδη συνέστηκε τὰ ἀνομοιομερῆ· οἷον πρόσωπον· χεὶρ· πούς· καὶ τἄλλα τὰ τοιαῦτα· καὶ ἐν τοῖς φυτοῖς· ξύλον· φλοιός· φύλλον· ῥίζα· καὶ ὅσα τοιαῦτα· ἐπεὶ δὲ ταῦτα μὲν ὑπ' ἄλλης αἰτίας συνέσταται. ἐξ ὧν δὲ ταῦτα, ὕλη μὲν τὸ ξηρὸν, καὶ ὑγρὸν, ὥστε ὕδωρ καὶ γῆ· (ταῦτα γὰρ προφανεστάτην ἔχει τὴν δύναμιν ἑκάτερον ἑκατέρου)· τὰ δὲ ποιοῦντα, τὸ θερμὸν καὶ τὸ ψυχρὸν (ταῦτα γὰρ συνίστησι καὶ πήγνυσιν ἐξ ἐκείνων, ἐκεῖνα) λάβωμεν τῶν ὁμοιομερῶν, ποῖα γῆς εἴδη· καὶ ποῖα ὕδατος· καὶ ποῖα κοινά. ἔστι δὴ τῶν σωμάτων τῶν δεδημιουργημένων, τὰ μὲν ὑγρά· τὰ δὲ μαλακά· τὰ δὲ σκληρά· τούτων δὲ ὅσα μαλακὰ ἢ σκληρὰ πήξει ἐστίν, εἴρηται πρότερον. τῶν μὲν οὖν ὑγρῶν ὅσα μὲν ἐξατμίζεται, ὕδατος· ὅσα δὲ μή, ἢ γῆς· ἢ κοινὰ γῆς καὶ ὕδατος· οἷον γάλα· ἢ γῆς καὶ ἀέρος· οἷον ξύλον· ἢ ὕδατος καὶ ἀέρος· οἷον ἔλαιον· καὶ ὅσα μὲν ὑπὸ θερμοῦ παχύνεται, κοινά. ἀπορήσειε δ' ἄν τις περὶ οἴνου, τῶν ὑγρῶν· τοῦτο γὰρ καὶ ἐξατμισθείη ἄν· καὶ παχύνεται ὥσπερ ὁ νέος· αἴτιον δὲ ὅτι οὔτε ἑνὶ εἴδει λέγεται ὁ οἶνος, καὶ ὁ παλαιὸς ἄλλος· ὁ γὰρ νέος μᾶλλον γῆς ἢ ὁ παλαιός· διὸ καὶ παχύνεται τῷ θερμῷ μάλιστα· καὶ πήγνυται ἧττον ὑπὸ τοῦ ψυχροῦ· ἔχει γὰρ καὶ θερμὸν πολὺ καὶ γῆς· ὥσπερ ἐν Ἀρκαδίᾳ οὕτως ἀναξηραίνεται ὑπὸ τοῦ καπνοῦ ἐν τοῖς ἀσκοῖς, ὥστε ξυόμενος πίνεσθαι· εἰ δὲ πᾶς ἰλὺν ἔχει, οὕτως ἑκατέρου ἐστὶν, ἢ γῆς ἢ ὕδατος· ὡς ταύτης ἔχει πλῆθος. ὅσα δὲ ὑπὸ ψυχροῦ παχύνεται, γῆς· ὅσα δ' ὑπ' ἀμφοῖν, κοινὰ πλειόνων·

Lac · cõmune terrę & aquę
Lignũ cõmune terre & aeris
Oleũ cõe aquę & aeris

De Vino recenti & ueteri

mustũ magis crassescit calore quam uetus uinũ quia uetus magis terrę habet & plus caloris · ideo minus congelatur a frigore

Arcadicũ uinũ

ἰλύω fecẽ



οἷον ἔλαιον· καὶ μέλι· καὶ ὁ γλυκὺς οἶνος. τῶν δὲ συνεστώτων, ὅσα μὲν πέπηγεν ὑπὸ ψυχροῦ, ὕδατος· οἷον κρύσταλλος· χιών· χάλαζα· πάχνη· ὅσα δ' ὑπὸ θερμοῦ, γῆς· οἷον κέραμος· τυρός· νίτρον· ἅλες· ὅσα δ' ὑπ' ἀμφοῖν, τοιαῦτα δ' ἐστὶν ὅσα ψύξει· ταῦτα δ' ἐστὶν ὅσα ἀμφοῖν στερήσει, θερμοῦ καὶ ὑγροῦ· συνεξιόντος τῷ θερμῷ· οἱ μὲν γὰρ ἅλες, ὑγροῦ μόνου στερήσει πήγνυνται καὶ ὅσα εἰλικρινῆ γῆς· ὁ δὲ κρύσταλλος θερμοῦ μόνου. ταῦτα δ' ἀμφοῖν· διὸ καὶ ὑπ' ἀμφοῖν· καὶ ἔχει ἄμφω· ὅσων μὲν οὖν ἅπαν ἐξικμάσθη· οἷον κέραμος· ἢ ἤλεκτρον (καὶ γὰρ τὸ ἤλεκτρον, καὶ ὅσα λέγεται ὡς δάκρυα, ψύξει ἐστίν· οἷον σμύρνα· λιβανωτός· κόμμι· καὶ τὸ ἤλεκτρον δὲ, τούτου τοῦ γένους ἔοικε· καὶ πήγνυται· ἐμπεριειλημμένα γοῦν ζῶα ἐν αὐτῷ φαίνεται· ὑπὸ δὲ τοῦ ποταμοῦ τὸ θερμὸν ἐξιὸν ὥσπερ τοῦ ἑψομένου μέλιτος ὅταν εἰς ὕδωρ ἀφεθῇ, ἐξατμίζει τὸ ὑγρόν), ταῦτα πάντα ἐστὶ καὶ τὰ μὲν ἄτηκτα καὶ ἀμάλακτα· οἷον τὸ ἤλεκτρον· ἢ λίθοι ἔνιοι· ὥσπερ οἱ πόροι ἐν τοῖς σπηλαίοις· καὶ γὰρ οὗτοι ὅμοιοι γίνονται τούτοις· καὶ οὐχ ὡς ὑπὸ πυρὸς· ἀλλ' ὑπὸ τοῦ ψυχροῦ διεξιόντος τοῦ θερμοῦ, συνεξέρχεται τὸ ὑγρὸν· ὑπὸ τοῦ ἐξ αὐτοῦ ἐξιόντος θερμοῦ· ἐν δὲ τοῖς ἑτέροις ὑπὸ τοῦ ἔξωθεν πυρός· ὅσων δὲ μὴ ὅλον, γῆς μὲν ἐστὶ μᾶλλον· μαλακτὰ δέ· οἷον σίδηρος· καὶ κέρας· λιβανωτὸς δέ, καὶ τὰ τοιαῦτα, παραπλησίως τοῖς ξύλοις ἀτμίζει· ἐπεὶ οὖν τηκτά γε, θετέον καὶ ὅσα τήκεται ὑπὸ πυρός, ταῦτ' ἐστὶν ὑδατωδέστερα· ἔνια δὲ καὶ κοινά· οἷον κηρός· ὅσα δὲ ὑπὸ ὕδατος, ταῦτα δὲ γῆς· ὅσα δὲ μὴ δ' ὑφ' ἑτέρου, ἢ γῆς, ἢ ἀμφοῖν· εἰ οὖν ἅπαντα μὲν ἢ ὑγρὰ ἢ πεπηγότα, τούτων δὲ τὰ ἐν τοῖς εἰρημένοις πάθεσι καὶ οὐκ ἔστι μεταξύ, ἅπαντ' ἂν εἴη εἰρημένα· οἷς διαγνωσόμεθα πότερον γῆς, ἢ ὕδατος ἢ πλειόνων κοινόν· καὶ πότερον ὑπὸ πυρὸς συνέστηκεν, ἢ ψυχροῦ ἢ ἀμφοῖν· χρυσὸς μὲν δὴ καὶ ἄργυρος καὶ χαλκὸς, καὶ καττίτερος, καὶ μόλιβδος, καὶ ὕελος, καὶ λίθοι πολλοὶ ἀνώνυμοι, ὕδατος· πάντα γὰρ ταῦτα τήκεται θερμῷ· ἔτι οἶνοι ἔνιοι, οὖρον, ὄξος, καὶ κονία, καὶ ὀρρός, καὶ ἰχώρ, ὕδατος· πάντα γὰρ πή-

Oleũ
Mel
Vinũ dulce

Electrũ
Myrrha
Thus
Gummi
Electrũ
Cur in electro bestiolę inclusę conspiciantur

Aurũ
Argentũ
Aes
Stannũ
Plumbũ
Vitrũ
Vina quędã
Vrina
Acetũ
Lixiuiũ
Serũ
Sanies

Ferrum
Cornu
Ungula
Os
Nervus
Lignum
Pili
Folia
Cortex
Electrum
Myrrha
Thus
Lacrumae quae dicuntur
Tofus lapis - πῶρος
Sanguis
Genitura
Sanguis habens fibras & non habens
Τίτανος tectoriorum calx
Cur putridis in rebus animalia innascantur

γίνεται ψυχθέντα· σίδηρος δὲ καὶ κέρας καὶ ὄνυξ καὶ ὀστοῦν καὶ νεῦρον καὶ ξύ-
λον καὶ θρὶξ καὶ φύλλα καὶ φλοιός, γῆς μᾶλλον· ἔτι ἤλεκτρον,
σμύρνα, λιβανωτὸς καὶ πάντα τὰ δάκρυα λεγόμενα καὶ πῶρος καὶ
οἱ καρποί, οἷον τὰ χέδροπα καὶ σῖτος· τὰ τοιαῦτα γάρ, τὰ μὲν
σφόδρα, τὰ δ' ἧττον μὲν τούτων, ὅμως δὲ γῆς· τὰ μὲν γὰρ μαλακτά,
τὰ δὲ θυμιατά καὶ ψύξει γεγενημένα. ἔτι νίτρον, ἅλες, λίθων γένη ὅ-
σα μήτε ψύξει μήτε τήκεται. αἷμα δὲ καὶ γονὴ κοινὰ γῆς καὶ ὕδατος καὶ
ἀέρος· τὸ μὲν ἔχον ἶνας αἷμα, μᾶλλον γῆς· διὸ καὶ ψύξει πήγνυται, καὶ ὑ-
γρῷ τήκεται· τὰ δὲ μὴ ἔχοντα ἶνας, ὕδατος· διὸ καὶ οὐ πήγνυ-
ται. γονὴ δὲ πήγνυται ψύξει, ἐξιόντος τοῦ ὑγροῦ μετὰ τοῦ θερ-
μοῦ. ποῖα δὲ θερμὰ ἢ ψυχρὰ τῶν πεπηγότων ἢ τῶν ὑγρῶν, ἐκ τῶν εἰρη-
μένων χρὴ μεταδιώκειν. ὅσα μὲν οὖν ὕδατος, ὡς ἐπὶ πολὺ ψυχρά, ἐὰν
μὴ ἀλλοτρίαν ἔχῃ θερμότητα, οἷον κονία, οὖρον, οἶνος· ὅσα δὲ γῆς, ὡς ἐ-
πὶ τὸ πολὺ θερμά, διὰ τὴν τοῦ θερμοῦ δημιουργίαν, οἷον τίτανος
καὶ τέφρα. δεῖ δὲ λαβεῖν τὴν ὕλην ψυχρότητά τινα εἶναι· ἐπεὶ γὰρ τὸ ψυχρὸν
καὶ τὸ ὑγρὸν ὕλη (ταῦτα γὰρ παθητικά· ῥύτων δὲ σώματα μάλιστα γῆ καὶ
ὕδωρ ἐστί· ταῦτα δὲ ψυχρότητι ὥρισται) δῆλον οὖν ὅτι πάντα τὰ σώματα
ὅσα ἑκατέρου ἁπλῶς τῶν στοιχείων ψυχρὰ μᾶλλόν ἐστιν, ἂν μὴ ἔχῃ ἀλ-
λοτρίαν θερμότητα, οἷον τὸ ζέον ὕδωρ ἢ τὸ διὰ τέφρας ἠθημένον·
καὶ γὰρ τοῦτο ἔχει τὴν ἐκ τῆς τέφρας θερμότητα· ἐν ἅπασι γὰρ ἐστὶ θερ-
μότης ἢ πλείων ἢ ἐλάττων τοῖς πεπυρωμένοις· διὸ καὶ ἐν τοῖς
σαπροῖς ζῷα ἐγγίνεται· ἔνεστι γὰρ θερμότης ἡ φθείρασα τὴν ἑκάστου
οἰκείαν θερμότητα. ὅσα δὲ κοινά, ἔχει θερμότητα· συνέστη γὰρ τὰ
πλεῖστα ὑπὸ θερμότητος πεψάσης. ἔνια δέ ἐστι σηπτά, οἷον τὰ συντήγ-
ματα. ὥστε ἔχοντα μὲν τὴν φύσιν θερμά, καὶ αἷμα καὶ γονὴ καὶ μυελὸς
καὶ ὀπὸς καὶ πάντα τὰ τοιαῦτα· φθειρόμενα δὲ καὶ ἐξιστάμενα τῆς
φύσεως, οὐκέτι· λείπεται γὰρ ἡ ὕλη, γῆ οὖσα ἢ ὕδωρ· διὸ ἀμ-
φότερα δοκεῖ τισί, καὶ οἱ μὲν ψυχρά, οἱ δὲ θερμὰ ταῦτα φασὶν
εἶναι, ὁρῶντες ὅταν μὲν ἐν τῇ φύσει ὦσι, θερμά, ὅταν δὲ χωρι-
σθῶσι, πηγνύμενα. ἔχει μὲν οὖν οὕτως. ὅμως δὲ ὥσπερ διώρισται,
ἐν οἷς μὲν ἡ ὕλη ὕδατος τὸ πλεῖστον, ψυχρά· ἀντίκειται γὰρ



τοῦτο μάλιστα τῷ πυρί· ἐν οἷς δὲ γῆ ἢ ἀέρος, θερμότερα. συμβαί-
νει δὲ ποτὲ τὰ αὐτὰ γίνεσθαι ψυχρότατα καὶ θερμότατα, ἀλλοτρίᾳ
θερμότητι· ὅσα γὰρ μάλιστα πέπηγε καὶ στερεώτατά ἐστι, ταῦ-
τα ψυχρά τε μάλιστα, ἐὰν στερηθῇ θερμότητος, καὶ καίει μάλιστα ἐὰν
πυρωθῇ· οἷον ὕδωρ καπνοῦ καὶ λίθος ὕδατος καίει μᾶλλον. ἐπεὶ
δὲ περὶ τούτων διώρισται καθ' ἕκαστον, λέγωμεν τί σάρξ ἢ ὀστοῦν
ἢ τῶν ἄλλων τῶν ὁμοιομερῶν. ἔχομεν γὰρ ἐξ ὧν ἡ τῶν ὁμοιομερῶν
φύσις συνέστηκε, τὰ γένη αὐτῶν, τίνος ἕκαστον γένους, διὰ τῆς
γενέσεως· ἐκ μὲν γὰρ τῶν στοιχείων τὰ ὁμοιομερῆ, ἐκ τούτων δὲ ὡς
ὕλης τὰ ὅλα ἔργα τῆς φύσεως. ἔστι δὲ ἅπαντα ὡς μὲν ἐξ ὕλης
ἐκ τῶν εἰρημένων, ὡς δὲ κατ' οὐσίαν, τῷ λόγῳ. ἀεὶ δὲ μᾶλλον δῆλον ἐπὶ
τῶν ὑστέρων, καὶ ὅλως ὅσα οἷον ὄργανα καὶ ἕνεκά του. μᾶλλον γὰρ δῆλον
ὅτι ὁ νεκρὸς ἄνθρωπος ὁμωνύμως. οὕτω τοίνυν καὶ χεὶρ τελευτήσαντος ὁμω-
νύμως, καθάπερ καὶ αὐλοὶ λίθινοι λεχθείησαν· οἷον γὰρ καὶ ταῦτα ὄργα-
να ἄττα ἔοικεν εἶναι. ἧττον δ' ἐπὶ σαρκὸς καὶ ὀστοῦ τὰ τοιαῦτα δῆλα· ἔ-
τι δ' ἐπὶ πυρὸς καὶ ὕδατος, γὰρ ἧττον. τὸ γὰρ οὗ ἕνεκα ἥκιστα ἐνταῦθα δῆ-
λον, ὅπου πλεῖστον τῆς ὕλης. ὥσπερ γὰρ εἰ τὰ ἔσχατα ληφθείη, ἡ μὲν ὕλη οὐ-
δὲν ἄλλο παρ' αὐτήν, ἡ δ' οὐσία οὐδὲν ἄλλο ἢ ὁ λόγος, τὰ δὲ μεταξὺ ἀνά-
λογον τῷ ἐγγὺς εἶναι ἕκαστον· ἐπεὶ καὶ τούτων ὁτιοῦν ἐστιν ἕνεκά
του, καὶ οὐ πάντως ἔχον ὕδωρ ἢ πῦρ, ὥσπερ οὐδὲ σὰρξ οὐδὲ σπλάγχνον.
τούτων δ' ἔτι μᾶλλον πρόσωπον καὶ χείρ. ἅπαντα δ' ἐστὶν ὡρισμένα
τῷ ἔργῳ· τὰ μὲν γὰρ δυνάμενα ποιεῖν τὸ αὐτῶν ἔργον ἀληθῶς ἐστιν ἕκαστα,
οἷον ὁ ὀφθαλμὸς εἰ ὁρᾷ, τὸ δὲ μὴ δυνάμενον ὁμωνύμως, οἷον ὁ τεθνεὼς ἢ
ὁ λίθινος· οὐδὲ γὰρ πρίων ὁ ξύλινος, ἀλλ' ἢ ὡς ἡ εἰκών. οὕτω τοίνυν καὶ σάρξ· ἀλ-
λὰ τὸ ἔργον αὐτῆς ἧττον δῆλον ἢ τὸ τῆς γλώττης. ὁμοίως δὲ καὶ πῦρ· ἀλ-
λ' ἔτι ἧττον ἴσως δῆλον φυσικῶς ἢ τὸ τῆς σαρκὸς ἔργον. ὁμοίως δὲ καὶ
τὰ ἐν τοῖς φυτοῖς καὶ τὰ ἄψυχα, οἷον χαλκὸς καὶ ἄργυρος· πάντα γὰρ
δυνάμει τινί ἐστιν ἢ τοῦ ποιεῖν ἢ τοῦ πάσχειν, ὥσπερ καὶ σὰρξ καὶ νεῦρον·
ἀλλ' οἱ λόγοι αὐτῶν οὐκ ἀκριβεῖς· ὥστε πότε ὑπάρχει καὶ πότε οὔ, οὐ ῥᾴδιον
διιδεῖν, ἂν μὴ σφόδρα ἐξίτηλον ᾖ καὶ τὰ σχήματα μόνα ᾖ λοιπά,
οἷα καί

Membrum quodlibet posse dici proprie tale si officium suum possit exequi. si non non potest pro nominis communitate dicetur non proprie

ὁμωνύμως .i. per nominis communitatem aequivoce.

ἐξίτηλον ᾖ .i. evanuerit obliteratum fuerit

οἷα καὶ τὰ τῶν παλαιουμένων νεκρῶν σώματα· ἐξαίφνης γὰρ τέφρα γίνεται ἐν ταῖς θήκαις· καὶ καρποὶ, μόνον τῷ σχήματι, τῇ δὲ αἰσθήσει οὐ φαίνονται παλαιούμενοι σφόδρα· καὶ τὰ ἐκ τοῦ γάλακτος πηγνύμενα. τὰ μὲν οὖν τοιαῦτα μόρια θερμότητι καὶ ψυχρότητι καὶ ταῖς τούτων κινήσεσιν ἐνδέχεται γίνεσθαι, τὰ πηγνύμενα τῷ θερμῷ καὶ τῷ ψυχρῷ. λέγω δ' ὅσα ὁμοιομερῆ, οἷον σάρκα, ὀστοῦν, τρίχας, νεῦρα, καὶ ὅσα τοιαῦτα· πάντα γὰρ διαφέρει ταῖς πρότερον εἰρημέναις διαφοραῖς, τάσει, ἕλξει, θραύσει, σκληρότητι, μαλακότητι, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις· ταῦτα δ' ὑπὸ ψυχροῦ καὶ θερμοῦ καὶ τῆς κινήσεως γίνεται μιγνυμένων. τὰ δ' ἐκ τούτων συνεστῶτα οὐθενὶ ἂν δόξειε τὰ ἀνομοιομερῆ, οἷον κεφαλὴ ἢ χεὶρ ἢ πούς· ἀλλ' ὥσπερ καὶ τοῦ χαλκοῦ μὲν ἢ ἀργύρου γενέσθαι αἴτια ψυχρότης καὶ θερμότης καὶ κίνησις, τοῦ δὲ πρίονος ἢ φιάλης ἢ κιβωτοῦ, οὐκέτι, ἀλλ' ἐνταῦθα μὲν τέχνη, ἐκεῖ δὲ φύσις, ἢ ἄλλη τις αἰτία, ἐπειδὴ ἔχομεν τίνος γένους ἕκαστον τῶν ὁμοιομερῶν, ληπτέον καθ' ἕκαστον τί ἐστιν, οἷον τί αἷμα ἢ σὰρξ ἢ σπέρμα, καὶ τῶν ἄλλων ἕκαστον. οὕτω γὰρ ἴσμεν ἕκαστον διὰ τί καὶ τί ἐστιν, ἐὰν τὴν ὕλην ἢ τὸν λόγον ἔχωμεν· μάλιστα δ' ὅταν ἀμφότερα τῆς γενέσεως καὶ φθορᾶς· καὶ πόθεν ἡ ἀρχὴ τῆς κινήσεως. δηλωθέντων δὲ τούτων, ὁμοίως τὰ ἀνομοιομερῆ θεωρητέον· καὶ τέλος, τὰ ἐκ τούτων συνεστῶτα, οἷον ἄνθρωπον, φυτόν, καὶ τἆλλα τὰ τοιαῦτα.

ΤΕΛΟΣ ΤΩΝ ΜΕΤΕΩΡΟΛΟΓΙΚΩΝ.



## ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΕΡΙ ΚΟΣΜΟΥ.

Πολλάκις μὲν ἔμοιγε θεῖόν τι καὶ δαιμόνιον ὄντως χρῆμα, ὦ Ἀλέξανδρε, ἡ φιλοσοφία ἔδοξεν εἶναι, μάλιστα δὲ ἐν οἷς μόνη διαραμένη πρὸς τὴν τῶν ὅλων θέαν, ἐσπούδασε γνῶναι τὴν ἐν αὐτοῖς ἀλήθειαν, καὶ τῶν ἄλλων ταύτης ἀποστάντων διὰ τὸ ὕψος καὶ τὸ μέγεθος, αὕτη τὸ πρᾶγμα οὐκ ἔδεισεν, οὐδ' αὑτὴν τῶν καλλίστων ἀπηξίωσεν· ἀλλὰ καὶ συγγενεστάτην ἑαυτῇ καὶ μάλιστα πρέπουσαν ἐνόμισεν εἶναι τὴν ἐκείνων μάθησιν. ἐπειδὴ γὰρ οὐχ οἷόν τε ἦν τῷ σώματι εἰς τὸν οὐράνιον ἀφικέσθαι τόπον, καὶ τὴν γῆν ἐκλιπόντα τὸν οὐράνιον ἐκεῖνον χῶρον κατοπτεῦσαι, καθάπερ οἱ ἀνόητοί ποτε ἐπενόουν ἀλωάδαι, ἡ γοῦν ψυχὴ διὰ φιλοσοφίας λαβοῦσα ἡγεμόνα τὸν νοῦν, ἐπεραιώθη καὶ ἐξεδήμησεν, ἀκοπίατόν τινα ὁδὸν εὑροῦσα, καὶ τὰ πλεῖστον ἀλλήλων ἀφεστῶτα τοῖς τόποις, τῇ διανοίᾳ συνεφρόνησε, ῥᾳδίως οἶμαι τὰ συγγενῆ γνωρίσασα, καὶ θείῳ ψυχῆς ὄμματι τὰ θεῖα καταλαβοῦσα, τοῖς τε ἀνθρώποις προφητεύουσα. τοῦτο δὲ ἔπαθε, καθόσον οἷόν τε ἦν πᾶσιν ἀφθόνως μεταδοῦναι βουληθεῖσα τῶν παρ' αὐτῆς τιμίων. διὸ καὶ τοὺς μετὰ σπουδῆς διαγράψαντας ἡμῖν ἑνὸς τόπου φύσιν, ἢ μιᾶς σχῆμα πόλεως, ἢ ποταμοῦ μέγεθος, ἢ ὄρους κάλλος, οἷά τινες ἤδη πεποιήκασι φράζοντες, οἱ μὲν τὴν ὄσσαν, οἱ δὲ τὴν νύσσαν, οἱ δὲ τὸ κωρύκιον ἄντρον, οἱ δὲ ὁτιοῦν ἔτυχε τῶν ἐπὶ μέρους, οἰκτίσειεν ἄν τις τῆς μικροψυχίας, τὰ τυχόντα ἐκπεπληγμένους, καὶ μέγα φρονοῦντας ἐπὶ θεωρίᾳ μικρᾷ. τοῦτο δὲ πάσχουσι διὰ τὸ ἀθέατοι τῶν κρειττόνων εἶναι, λέγω δὲ κόσμου καὶ τῶν ἐν κόσμῳ μεγίστων. οὐδέποτε γὰρ ἂν τούτοις γνησίως ἐπιστήσαντές ποτε, ἐθαύμαζόν τι τῶν ἄλλων, ἀλλὰ πάντα αὐτοῖς τἆλλα μικρὰ κατεφαίνετο ἄν, καὶ οὐδε-

δαιμόνιον ἡ φιλοσοφία

Alexander

Aloidæ immanes

Ossa m.

Nyssa

Corycium antru

μὸς ἄξια πρὸς τὴν τοῦ τῆς ὑπεροχήν. λέγωμεν δὴ ἡμεῖς καὶ καθ᾽ ὅσον ἐφικτὸν θεολογῶμεν περὶ τούτων συμπάντων, ὡς ἕκαστον ἔχει φύσεως καὶ θέσεως καὶ κινήσεως. πρέπειν δέ οἶμαί γε καὶ σοί, ἡγεμόνων ὄντι ἀρίστῳ, τὴν τῶν μεγίστων ἱστορίαν μετιέναι, φιλοσοφίᾳ τε μηδὲν μικρὸν ἐπινοεῖν, ἀλλὰ τοῖς ταύτης δώροις δεξιοῦσθαι τοὺς ἀρίστους. κόσμος μὲν οὖν ἐστι σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις περιεχομένων φύσεων. λέγεται δὲ καὶ ἑτέρως κόσμος ἡ τῶν ὅλων τάξις τε καὶ διακόσμησις, ὑπὸ θεοῦ τε καὶ διὰ θεὸν φυλαττομένη. ταύτης δὲ τὸ μὲν μέσον, ἀκίνητόν τε ὂν καὶ ἑδραῖον, ἡ φερέσβιος εἴληχε γῆ, παντοδαπῶν ζῴων ἑστία τε οὖσα καὶ μήτηρ. τὸ δὲ ὕπερθεν αὐτῆς, πᾶν τε καὶ πάντῃ πεπερατωμένον, ἧς τὸ ἀνωτάτω τὸ θεοῦ οἰκητήριον, οὐρανὸς ὠνόμασται. πλήρης δὲ ὢν σωμάτων θείων, ἃ δὴ καλεῖν ἄστρα εἰώθαμεν, κινούμενος κίνησιν ἀΐδιον, μιᾷ περιαγωγῇ καὶ κύκλῳ συναναχορεύει πᾶσι τούτοις ἀπαύστως δι᾽ αἰῶνος. τοῦ δὲ σύμπαντος οὐρανοῦ τε καὶ κόσμου σφαιροειδοῦς ὄντος καὶ κινουμένου καθάπερ εἶπον ἐνδελεχῶς, δύο ἀκίνητα ἐξ ἀνάγκης ἐστὶ σημεῖα κατ᾽ ἀντικρὺ ἀλλήλων, καθάπερ τῆς ἐν τόρνῳ κυκλοφορουμένης σφαίρας, στερεὰ μένοντα καὶ συνέχοντα τὴν σφαῖραν, περὶ ἃ ὁ πᾶς κόσμος κινεῖται. ὁ μὲν ἐν κόσμος ἐγκύκλῳ περιστρέφεται· καλοῦνται δὲ οὗτοι πόλοι. δι᾽ ὧν εἰ νοήσαιμεν ἐπεζευγμένην εὐθεῖαν, ἥν τινες ἄξονα καλοῦσιν, διάμετρος ἔσται τοῦ κόσμου, μέσην μὲν ἔχουσα τὴν γῆν, τοὺς δὲ δύο πόλους πέρατα. τῶν δὲ ἀκινήτων πόλων τούτων ὁ μὲν ἀεὶ φανερός ἐστιν ὑπὲρ κορυφὴν ὢν κατὰ τὸ βόρειον κλίμα, ἀρκτικὸς καλούμενος, ὁ δὲ ὑπὸ γῆν ἀεὶ κατακέκρυπται, κατὰ τὸ νότιον, ἀνταρκτικὸς καλούμενος. οὐρανοῦ δὲ καὶ ἄστρων οὐσίαν μὲν αἰθέρα καλοῦμεν, οὐχ ὥς τινες διὰ τὸ πυρώδη οὖσαν αἴθεσθαι, πλημμελοῦντες περὶ τὴν πλεῖστον πυρὸς ἀπηλλαγμένην δύναμιν, ἀλλὰ διὰ τὸ ἀεὶ θεῖν κυκλοφορουμένην, στοιχεῖον οὖσαν ἕτερον τῶν τεττάρων, ἀκήρατόν τε καὶ θεῖον. τῶν γε μὴν ἐμπεριεχομένων

ἄστρων

μετιέναι

Mundi diff°

φερέσβιος uite datrix

Poli

Axis

Arcticus polus

Antarcticus

Aether qd & unde dictus

Quintū elementū uocari aetheream substantiā



ἄστρων· τὰ μὲν ἀπλανῆ τῷ σύμπαντι οὐρανῷ συμπεριστρέφονται, τὰς αὐτὰς ἔχοντα ἕδρας, ὧν μέσος ὁ ζωοφόρος καλούμενος κύκλος ἐγκάρσιος διὰ τῶν τροπικῶν διέζωσται, κατὰ μέρος διῃρημένος εἰς δώδεκα ζῳδίων χώρας· τὰ δὲ πλανητὰ ὄντα, οὔτε τοῖς προτέροις ὁμοιοταχῶς κινεῖσθαι πέφυκεν οὔτε ἀλλήλοις, ἀλλ᾽ ἐν ἑτέροις καὶ ἑτέροις κύκλοις, ὥστε αὐτῶν τὸ μὲν προσγειότερον εἶναι, τὸ δὲ ἀνώτερον. τὸ μὲν οὖν τῶν ἀπλανῶν πλῆθός ἐστιν ἀνεξεύρετον ἀνθρώποις, καίπερ ἐπὶ μιᾶς κινουμένων ἐπιφανείας τῆς τοῦ σύμπαντος οὐρανοῦ· τὸ δὲ τῶν πλανήτων εἰς ἑπτὰ μέρη κεφαλαιούμενον, ἐν τοσούτοις ἐστὶ κύκλοις ἐφεξῆς κειμένοις, ὥστε ἀεὶ τὸν ἀνωτέρω μείζω τοῦ ὑποκάτω εἶναι, τούς τε ἑπτὰ ἐν ἀλλήλοις περιέχεσθαι, πάντας γε μὴν ὑπὸ τῆς τῶν ἀπλανῶν σφαίρας περιειλῆφθαι. συνεχῆ δὲ ἔχει ἀεὶ ταύτην τὴν θέσιν ὁ τοῦ Φαίνοντος ἅμα καὶ Κρόνου καλούμενος κύκλος, ἐφεξῆς δὲ ὁ τοῦ Φαέθοντος καὶ Διὸς λεγόμενος, εἶθ᾽ ὁ Πυρόεις, Ἡρακλέους τε καὶ Ἄρεος προσαγορευόμενος, ἑξῆς δὲ ὁ Στίλβων, ὃν ἱερὸν Ἑρμοῦ καλοῦσιν ἔνιοι, τινὲς δὲ Ἀπόλλωνος· μεθ᾽ ὃν ὁ τοῦ Φωσφόρου, ὃν Ἀφροδίτης, οἱ δὲ Ἥρας προσαγορεύουσιν, εἶτα ὁ ἡλίου, καὶ τελευταῖος ὁ τῆς σελήνης μέχρι τῆς γῆς ὁρίζεται. ὁ δὲ αἰθὴρ τά τε θεῖα ἐμπεριέχει σώματα καὶ τὴν τῆς κινήσεως τάξιν. μετὰ δὲ τὴν αἰθέριον καὶ θείαν φύσιν, ἥντινα τεταγμένην ἀποφαίνομεν, ἔτι δὲ ἄτρεπτον καὶ ἀνετεροίωτον καὶ ἀπαθῆ, συνεχής ἐστιν ἡ δι᾽ ὅλων παθητή τε καὶ τρεπτή, καὶ τὸ σύμπαν εἰπεῖν φθαρτή τε καὶ ἐπίκηρος. ταύτης δὲ αὐτῆς πρώτη μέν ἐστιν ἡ λεπτομερὴς καὶ φλογώδης οὐσία, ὑπὸ τῆς αἰθερίου φύσεως πυρουμένη διὰ τὸ μέγεθος αὐτῆς καὶ τὴν ὀξύτητα τῆς κινήσεως· ἐν δὲ τῇ πυρώδει καὶ ἀτάκτῳ λεγομένῃ, τά τε σέλα διάττει καὶ φλόγες ἀκοντίζονται καὶ δοκίδες καὶ βόθυνοι καὶ κομῆται λεγόμενοι στηρίζονται καὶ σβέννυνται πολλάκις. ἑξῆς δὲ ταύτης ὁ ἀὴρ ὑποκέχυται, ζοφώδης ὢν καὶ παγετώδης τὴν φύσιν· ὑπὸ δὲ κινήσεως λαμ-

Signifer circulus ζωοφόρος

ἐγκάρσιος obliquus

Zodiacus unde

Octo sphere

Phaenontis .i. Saturni orbis

Phaethôtis .i. iouis

Pyrois .i. mars uel hercules

Stilbô .i. mercurius uel apollo

Phosphoros .i. uenus uel iuno

Sol

Luna

Ignis sphaera

fulgores

Iacula

Trabes

fouee

Crinite

Aeris Sphaera

τόμενος ἅμα καὶ διακαιόμενος, λαμπρότερός τε γίνεται καὶ ἀλεεινός· ἐν δὲ τούτῳ καὶ αὐτῷ τῆς παθητικῆς ὄντι δυνάμεως, καὶ παντοδαπῶς ἀλλοιουμένῳ, νέφη τε συνίσταται, καὶ ὄμβροι καταρράσσουσι, χιόνες τε, πάχναι καὶ χάλαζαι· πνοαί τε ἀνέμων καὶ τυφώνων· ἔτι τε βρονταὶ καὶ ἀστραπαί· καὶ πτώσεις κεραυνῶν· μυρίων τε γνόφων συμπληγάδες· ἑξῆς δὲ τῆς ἀερίου φύσεως, γῆ τε καὶ θάλασσα ἐρήρεισται· φυτοῖς βρύουσα καὶ ζώοις· πηγαῖς τε καὶ ποταμοῖς· τοῖς μὲν, ἀνὰ γῆν ἑλιττομένοις· τοῖς δὲ, ἀνερευγομένοις εἰς θάλασσαν· πεποίκιλται δὲ καὶ χλόαις μυρίαις· ὄρεσί τε ὑψηλοῖς, καὶ βαθυξύλοις δρυμοῖς· καὶ πόλεσιν· ἃς τὸ σοφὸν ζῷον ἄνθρωπος ἱδρύσατο· νήσοις τε ἐναλίαις· καὶ ἠπείροις· τὴν μὲν οὖν οἰκουμένην ὁ πολὺς λόγος, εἴς τε νήσους καὶ ἠπείρους διεῖλεν· ἀγνοῶν ὅτι καὶ ἡ σύμπασα μία νῆσός ἐστιν· ὑπὸ τῆς ἀτλαντικῆς καλουμένης θαλάσσης περιρρεομένη· πολλὰς δὲ καὶ ἄλλας εἰκὸς τῆσδε ἀντιπόρθμους ἄποθεν κεῖσθαι· τὰς μὲν, μείζους αὐτῆς· τὰς δὲ ἐλάττους· ἡμῖν δὲ πάσας πλὴν τῆσδε, ἀοράτους· ὅπερ γὰρ αἱ παρ' ἡμῖν νῆσοι πρὸς ταυτὶ τὰ πελάγη πεπόνθασι, τοῦτο ἥδε ἡ οἰκουμένη πρὸς τὴν ἀτλαντικὴν θάλασσαν· πολλαί τε ἕτεραι πρὸς σύμπασαν τὴν θάλασσαν· καὶ γὰρ αὗται μεγάλαι τινές εἰσι νῆσοι· μεγάλοις τισὶ περικλυζόμεναι πελάγεσιν· ἡ δὲ σύμπασα τοῦ ὑγροῦ φύσις ἐπιπολάζουσα κατά τινας τῆς γῆς αὐλούς, τὰς καλουμένας ἀναπέφυκεν οἰκουμένας, ἑξῆς ἂν εἴη τῆς ἀερίου μάλιστα φύσεως· μετὰ δὲ ταύτην ἐν τοῖς βυθοῖς κατὰ τὸ μεσαίτατον τοῦ κόσμου συνερηρεισμένη γῆ πᾶσα, καὶ πεπιεσμένη, συνέστηκεν· ἀκίνητος καὶ ἀσάλευτος· καὶ τοῦτ' ἔστι τοῦ κόσμου τὸ πᾶν, ὃ καλοῦμεν κάτω· πέντε δὴ στοιχεῖα ταῦτα ἐν πέντε χώραις σφαιρικῶς ἐγκείμενα, περιεχομένης ἀεὶ τῆς ἐλάττονος τῇ μείζονι, λέγω δὲ γῆς μὲν, ἐν ὕδατι, ὕδατος δὲ ἐν ἀέρι, ἀέρος δὲ ἐν πυρί, πυρὸς δὲ ἐν αἰθέρι, τὸν κόσμον ὅλον συνεστήσατο· καὶ

Nubes
Pluuiæ
Niues
Pruinæ
Grandines
Flatus uētorū
Typhones
Tonitrua
Fulgura
Fulmina
συμπληγάδες γνόφ
Terra
Mare
Atlanticū pelagus
Quinq: elementa



στήσατο· καὶ τὸ μὲν ἄνω, θεῶν ἀπέδειξεν οἰκητήριον· τὸ κάτω δὲ, ἐφημέρων ζώων· αὐτοῦ γε μὴν τούτου τὸ μὲν ὑγρόν ἐστιν, ὃ καλεῖν ποταμούς τε, νάματά τε, θαλάσσας εἰθίσμεθα· τὸ δὲ ξηρὸν, γῆν τε καὶ ἠπείρους καὶ νήσους ὀνομάζομεν· τῶν τε νήσων, αἱ μὲν εἰσὶ μεγάλαι, καθάπερ ἡ σύμπασα ἥδε οἰκουμένη λέλεκται· πολλαί τε ἕτεραι περιρρεόμεναι μεγάλοις πελάγεσιν· αἱ δὲ εἰσὶν ἐλάττους· φανεραὶ δὲ ἡμῖν καὶ ἐντὸς οὖσαι· καὶ τούτων αἱ μὲν ἀξιόλογοι, σικελία τε, σαρδὼ, καὶ κύρνος, καὶ κρήτη, καὶ εὔβοια, καὶ κύπρος, καὶ λέσβος· αἱ δὲ ὑποδεέστεραι· ὧν αἱ μὲν, σποράδες, αἱ δὲ κυκλάδες· αἱ δὲ ἄλλως ὀνομάζονται· πέλαγος δὲ, τὸ μὲν ἔξω τῆς οἰκουμένης ἀτλαντικὸν καλεῖται, καὶ ὠκεανὸς περιρρέων ἡμᾶς· ἐν δὲ τῷ πρὸς δύσιν στενοπόρῳ στόματι διανεῳγὼς κατὰ τὰς ἡρακλέους λεγομένας στήλας, τὸν εἰσροῦν εἰς τὴν ἔσω θάλατταν ὡς ἂν εἰς λιμένα ποιεῖται· κατὰ μικρὸν δὲ ἐπιπλατυνόμενος ἀναχεῖται, μεγάλους περιλαμβάνων κόλπους ἀλλήλοις συναφεῖς· πῆ μὲν κατὰ στενοπόρους αὐχένας ἀνεστομωμένος· πῆ δὲ πάλιν πλατυνόμενος· πρῶτον μὲν οὖν λέγεται ἐγκεκολπῶσθαι ἐν δεξιᾷ εἰσπλέοντι τὰς ἡρακλέους στήλας διχῶς· εἰς τὰς καλουμένας σύρτεις· ὧν τὴν μὲν μεγάλην, τὴν δὲ μικρὰν καλοῦσιν· ἐπὶ θάτερα δὲ, οὐκέτι ὁμοίως ἀποκολπούμενος, τρία ποιεῖ πελάγη· τό τε σαρδώνιον, καὶ τὸ γαλατικὸν καλούμενον· καὶ ἀδρίαν· ἑξῆς δὲ τούτων ἐγκάρσιον τὸ σικελικόν· μετὰ δὲ τοῦτο τὸ κρητικόν· συνεχὲς δὲ αὐτῷ, τῇ μὲν τὸ αἰγύπτιόν τε καὶ παμφύλιον καὶ σύριον· τῇ δὲ τὸ αἰγαῖόν τε καὶ μυρτῷον· ἀντιπαρήκει δὲ τοῖς εἰρημένοις πολυμερέστατος ὢν ὁ πόντος· οὗ τὸ μὲν μυχαίτατον, μαιῶτις καλεῖται· τὸ δὲ ἔξω πρὸς τὸν ἑλλήσποντον συνεστόμωται τῇ καλουμένῃ προποντίδι· πρὸς γε μὴν ταῖς ἀνασχέσεσι τοῦ ἡλίου πάλιν εἰσρέων ὁ ὠκεανός, τόν ἰνδικόν τε καὶ περσικὸν διανοίξας κόλπον, ἀναφαίνει συνεχῆ τὴν ἐρυθρὰν θάλασσαν διειληφώς· ἐπὶ θάτερον δὲ κέρ-

ἐφήμερα ζῶα. quę cotidiano ortu ꝑdeūt

Memoria dignę insulę
Sicilia
Sardinia
Corsica
Creta
Euboea
Cyprus
Lesbus

Syrtes magna & parua

Pelagus
Sardoniū
Adriaticū
Gallicū
ἐγκάρσιον) obliquū
Sicelicū
Creticū
Aegyptiū
Pamphyliū
Syriū
Aegeū
Myrtoū
ἀντιπαρήκει opponit[r]
Pontus
Meotis
Hellespontus
Propontis
Indic(us) } Sin(us)
Persi(cus)
Rubrū mare

κατὰ στενόν τινα καὶ ἐπιμήκη διήκων αὐχένα, πάλιν ἀνευρύνεται, τὴν ὑρκανίαν τε καὶ κασπίαν ὁρίζων· τὸ δὲ ὑπὲρ ταύτην βαθὺν ἔχει τὸν ὑπὲρ τὴν μαιῶτιν λίμνην τόπον. εἶτα κατ᾽ ὀλίγον ὑπὲρ τοὺς σκύθας καὶ κελτικὴν, σφίγγει τὴν οἰκουμένην πρός τε τὸν γαλατικὸν κόλπον, καὶ τὰς προειρημένας ἡρακλείους στήλας· ὧν ἔξω περιρρεῖ τὴν γῆν ὁ ὠκεανός. ἐν τούτῳ γε μὴν νῆσοι μέγισταί τε τυγχάνουσιν οὖσαι δύο, βρετανικαὶ λεγόμεναι, ἀλβίον καὶ ἰέρνη, τῶν προϊστορημένων μείζους, ὑπὲρ τοὺς κελτοὺς κείμεναι. τούτων δὲ οὐκ ἐλάττους, ἥ τε ταπροβάνη πέραν ἰνδῶν, λοξὴ πρὸς τὴν οἰκουμένην, καὶ ἡ φεβὸλ καλουμένη κατὰ τὸν ἀραβικὸν κειμένη κόλπον. οὐκ ὀλίγαι δὲ μικραὶ περὶ τὰς βρετανικὰς καὶ τὴν ἰβηρίαν, κύκλῳ περιεστεφάνωνται τὴν οἰκουμένην ταύτην, ἣν δὴ νῆσον εἰρήκαμεν. ἧς πλάτος μέν ἐστι κατὰ τὸ βαθύτατον τῆς ἠπείρου, βραχὺ ἀποδέον τετρακισμυρίων σταδίων, ὥς φασιν οἱ εὖ γεωγραφήσαντες· μῆκος δὲ περὶ ἑπτακισμυρίους μάλιστα. διαιρεῖται δὲ εἴς τε εὐρώπην καὶ ἀσίαν καὶ λιβύην. εὐρώπη μὲν οὖν ἐστιν ἧς ὅροι κύκλῳ, στῆλαί τε ἡρακλέους καὶ μυχοὶ πόντου, θάλαττά τε ὑρκανία, καθ᾽ ἣν στενώτατος ἰσθμὸς εἰς τὸν πόντον διήκει. τινὲς δὲ ἀπὸ τοῦ ἰσθμοῦ τάναϊν ποταμὸν εἰρήκασιν. ἀσία δέ ἐστι τὸ ἀπὸ τοῦ εἰρημένου ἰσθμοῦ, τούτου τε τοῦ πόντου, καὶ τῆς ὑρκανίας θαλάσσης, μέχρι θατέρου ἰσθμοῦ, ὃς μεταξὺ κεῖται τοῦ ἀραβικοῦ κόλπου, καὶ τῆς ἔσω θαλάσσης, περιεχόμενος ὑπό τε ταύτης καὶ τοῦ πέριξ ὠκεανοῦ. τινὲς δὲ ἀπὸ τανάϊδος μέχρι νείλου στομάτων, τίθενται τὸν τῆς ἀσίας ὅρον. λιβύη δὲ, τὸ ἀπὸ τοῦ ἀραβικοῦ ἰσθμοῦ, ἕως ἡρακλέους στηλῶν. οἱ δὲ ἀπὸ τοῦ νείλου φασὶν ἕως ἐκείνων. τὴν δὲ αἴγυπτον ὑπὸ τῶν τοῦ νείλου στομάτων περιρρεομένην, οἱ μὲν τῇ ἀσίᾳ, οἱ δὲ τῇ λιβύῃ προσάπτουσι· καὶ τὰς νήσους οἱ μὲν ἐξαιρέτους ποιοῦσιν, οἱ δὲ προσνέμουσι ταῖς γείτοσιν ἀεὶ μοίραις. γῆς μὲν δὴ καὶ θαλάτ-

της

Hyrcaniu Caspiu — Mare

Bretanicæ insulæ: Albio, Jerna, Taprobana, Phebol

Longitudo & latitudo terræ habitabilis

Europa, Asia, Libya — fines earum

Africæ termini

Aegyptus ab aliis asiæ, ab aliis africæ adiudicatur



τῆς φύσιν καὶ θέσιν, ἥντινα καλεῖν εἰώθαμεν οἰκουμένην, τοιάνδε τινὰ ἱστορήκαμεν. περὶ δὲ τῶν ἀξιολογωτάτων ἐν αὐτῇ καὶ περὶ αὐτὴν παθῶν, νῦν λέγωμεν, αὐτὰ τὰ ἀναγκαῖα ἀνακεφαλαιούμενοι. δύο γὰρ δή τινες ἀπ᾽ αὐτῆς ἀναθυμιάσεις ἀναφέρονται συνεχῶς εἰς τὸν ὑπὲρ ἡμᾶς ἀέρα, λεπτομερεῖς καὶ ἀόρατοι παντάπασιν, εἰ μὴ κατὰ τὰς ἑῴας ἔστιν· αἵ τε διὰ ποταμῶν τε ναμάτων ἀναφερόμεναι θεωροῦνται. τούτων δὲ ἡ μέν ἐστι ξηρὰ καὶ καπνώδης, ἀπὸ τῆς γῆς ἀπορρέουσα. ἡ δὲ νοτερὰ καὶ ἀτμώδης, ἀπὸ τῆς ὑγρᾶς ἀναθυμιωμένη φύσεως. γίνονται δὲ ἀπὸ μὲν ταύτης, ὀμίχλαι καὶ δρόσοι καὶ πάγων ἰδέαι, νέφη τε καὶ ὄμβροι καὶ χιόνες, καὶ χάλαζαι. ἀπὸ δὲ τῆς ξηρᾶς ἄνεμοί τε καὶ πνευμάτων διαφοραί, βρονταί τε καὶ ἀστραπαί, καὶ πρηστῆρες καὶ κεραυνοί, καὶ τὰ ἄλλα δὴ τούτοις ἐστὶ σύμφυλα. ἔστι δὲ ὀμίχλη μὲν ἀτμώδης ἀναθυμίασις ἄγονος ὕδατος, ἀέρος μὲν παχυτέρα, νέφους δὲ ἀραιοτέρα. γίνεται δὲ ἤτοι ἐξ ἀρχῆς νέφους, ἢ ἐξ ὑπολείμματος. ἀντίπαλος δὲ αὐτῇ λέγεταί τε καὶ ἔστιν αἰθρία, οὐδὲν ἄλλο οὖσα πλὴν ἀὴρ ἀνέφελος καὶ ἀνόμιχλος. δρόσος δέ ἐστιν ὑγρὸν ἐξ αἰθρίας κατὰ σύστασιν λεπτὸν φερόμενον. κρύσταλλος ἀθρόον ὕδωρ ἐξ αἰθρίας πεπηγός. πάχνη δὲ δρόσος πεπηγυῖα. δροσοπάχνη δὲ, ἡμιπαγὴς δρόσος. νέφος δέ ἐστι πάχος ἀτμῶδες συνεστραμμένον, γόνιμον ὕδατος. ὄμβρος δὲ γίνεται μὲν κατ᾽ ἐκπιεσμὸν νέφους, εὖ μάλα πεπαχυσμένου. διαφορὰς δὲ ἴσχει τοσαύτας, ὅσας καὶ ἡ τοῦ νέφους θλῖψις. ἠπία μὲν γὰρ οὖσα, μαλακὰς ψεκάδας διασπείρει. σφοδρὰ δὲ ἁδροτέρας· καὶ τοῦτο καλοῦμεν ὑετὸν, ὄμβρου μείζονα, καὶ συνεχῆ συστρέμματα ἐπὶ γῆς φερόμενα. χιὼν δὲ γίνεται, κατὰ νεφῶν πεπυκνωμένων ἀπὸ θραύσιν πρὸ τῆς εἰς ὕδωρ μεταβολῆς ἀνακοπέντων· ἐργάζεται δὲ ἡ μὲν κοπὴ τὸ ἀφρῶδες καὶ ἔκλευκον· ἡ δὲ σύμπηξις



∴ sic legit Alcyonius, ego autem puto corrigendum πρὸ · i. ante

Halituum duo genera. Altera sicca & fumosa. Altera humida & vaporosa. prior ex terra. posterior ex aqua

Nebulæ, Rores, Nubes, Pluviæ, Nives, Grandines — inde

Venti, Tonitrus, Fulgura, Presteres, Fulmina — inde

Nebulæ, Serenitatis, Roris, Glaciei, Pruinæ, Roripruinæ, Nubis, Pluviæ, Nimbi, Nivis — Diffi

Nyphetos qd

Grando qd

τοῦ νέφους ὑγροῦ τὴν ψυχρότητα, οὔπω χυθέντος, οὐδ' ἠραιωμένου· σφοδρὰ δὲ αὕτη καὶ ἀθρόα καταφερομένη, νιφετὸς ὠνόμασαι· χάλαζα δὲ γίνεται, νιφετοῦ συστραφέντος καὶ βρῖθος ἐκ πιλήματος εἰς καταφορὰν ταχυτέραν λαβόντος. παρὰ δὲ τὰ μεγέθη τῶν ἀπορρηγνυμένων θραυσμάτων, οἵ τε ὄγκοι μείζους, αἵ τε καταφοραὶ γίνονται βιαιότεραι. Ταῦτα μὲν οὖν ἐκ τῆς ὑγρᾶς ἀναθυμιάσεως πέφυκε συμπίπτειν. ἐκ δὲ τῆς ξηρᾶς ὑπὸ ψύχους μὲν ὠσθείσης ὥστε ῥεῖν, ἄνεμος ἐγένετο· οὐδὲν γάρ ἐστιν οὗτος πλὴν ἀὴρ πολὺς ῥέων καὶ ἀθρόος· ὅστις ἅμα καὶ πνεῦμα λέγεται. λέγεται δὲ καὶ ἑτέρως πνεῦμα, ἥ τε ἐν φυτοῖς καὶ ζῴοις καὶ διὰ πάντων διήκουσα ἔμψυχός τε καὶ γόνιμος οὐσία, περὶ ἧς λέγειν νῦν οὐκ ἀναγκαῖον. τὰ δὲ ἐν ἀέρι πνέοντα πνεύματα, καλοῦμεν ἀνέμους· αὔρας δὲ τὰς ἐξ ὑγροῦ φερομένας ἐκπνοάς. τῶν δ' ἀνέμων οἱ μὲν ἐκ νενοτισμένης γῆς πνέοντες, ἀπόγειοι λέγονται· οἱ δὲ ἐκ κόλπων διεξάττοντες, ἐγκολπίαι. τούτοις δὲ ἀνάλογόν τι ἔχουσιν οἱ ἐκ ποταμῶν καὶ λιμνῶν. οἱ δὲ κατὰ ῥῆξιν νέφους γινόμενοι, καὶ ἀνάλυσιν τοῦ πάχους πρὸς ἑαυτοὺς ποιούμενοι, ἐκνεφίαι καλοῦνται. μεθ' ὕδατος δὲ ἐκραγέντος ἀθρόως, ἐξυδρίαι λέγονται. καὶ οἱ μὲν ἀπὸ ἀνατολῆς συνεχεῖς, εὖροι κέκληνται. βορέαι δὲ, οἱ ἀπὸ ἄρκτου. ζέφυροι δὲ, οἱ ἀπὸ δύσεως. νότοι δὲ οἱ ἀπὸ μεσημβρίας. τῶν γε μὴν εὔρων, καικίας μὲν λέγεται ὁ ἀπὸ τοῦ περὶ τὰς θερινὰς ἀνατολὰς τόπου πνέων. ἀπηλιώτης δὲ, ὁ ἀπὸ τοῦ περὶ τὰς ἰσημερινάς. εὖρος δὲ, ὁ ἀπὸ τοῦ περὶ τὰς χειμερινάς. καὶ τῶν ἐναντίων ζεφύρων, ἀργέστης μὲν, ὁ ἀπὸ τῆς θερινῆς δύσεως, ὅν τινες καλοῦσιν ὀλυμπίαν· οἱ δὲ ἰάπυγα. ζέφυρος δὲ, ὁ ἀπὸ τῆς ἰσημερινῆς. λὶψ δὲ ὁ ἀπὸ τῆς χειμερινῆς. καὶ τῶν βορέων ἰδίως, ὁ μὲν ἑξῆς τῷ καικίᾳ, καλεῖται βορέας. ἀπαρκτίας δὲ, ὁ ἐφεξῆς ἀπὸ τοῦ πόλου κατὰ τὸ μεσημβρινὸν πνέων. θρασκίας δὲ ὁ ἑξῆς πνέων τῷ ἀργέστῃ· ὃν ἔνιοι καικίαν καλοῦσι. καὶ τῶν νότων ὁ μὲν ἀ-

ἀπὸ τοῦ

Ventus qd.

Spiritus in corporibus animatis qd fit ut medici capiunt

Venti
Aurae > Dr[a]

Apogei
Encolpiae
Ecnephiae
Exhydriae
Euri
Boreae
Zephyrus
Caecias
Apeliotes
Eurus
Argestes
Olympias
Iapyx
Lips
Aparctias
Thrascias
Caecias
Noti






ἀπὸ τοῦ ἀφανοῦς πόλου φερόμενος ἀντίπαλος τῷ ἀπαρκτίᾳ καλεῖται νότος. εὐρόνοτος δὲ ὁ μεταξὺ εὔρου καὶ νότου. τὸν δὲ ἐπὶ θάτερα μεταξὺ λιβὸς καὶ νότου, οἱ μὲν, λιβόνοτον· οἱ δὲ λιβοφοίνικα καλοῦσι. τῶν δὲ ἀνέμων, οἱ μέν εἰσιν εὐθύπνοοι, ὁπόσοι διεκπνέουσι πρόσω κατ' εὐθεῖαν· οἱ δὲ ἀνακαμψίπνοοι, καθάπερ ὁ καικίας λεγόμενος. καὶ οἱ μὲν χειμῶνος ὥσπερ οἱ νότοι, δυναστεύοντες· οἱ δὲ θέρους, ὡς οἱ ἐτησίαι λεγόμενοι, μῖξιν ἔχοντες τῶν τε ἀπὸ τῆς ἄρκτου φερομένων καὶ ζεφύρων· οἱ δὲ ὀρνιθίαι καλούμενοι, ἐαρινοί τινες ὄντες ἄνεμοι, βορέαι εἰσὶ τῷ γένει. τῶν γε μὴν βιαίων πνευμάτων, καταιγὶς μέν ἐστι, πνεῦμα ἄνωθεν τύπτον ἐξαίφνης. θύελλα δὲ, πνεῦμα βίαιον, καὶ ἄφνω προσαλλόμενον. λαῖλαψ δὲ καὶ στρόβιλος πνεῦμα εἰλούμενον κάτωθεν ἄνω. ἀναφύσημα δὲ γῆς πνεῦμα ἄνω φερόμενον κατὰ τὴν ἐκ βυθοῦ τινος ἢ ῥήγματος ἀνάδοσιν. ὅταν δὲ εἰλούμενον πολὺ φέρηται, πρηστὴρ χθόνιός ἐστιν. εἰληθὲν δὲ πνεῦμα ἐν νέφει παχεῖ τε καὶ ἐνύγρῳ, καὶ ἐξωσθὲν δι' αὐτοῦ, ῥηγνύον βιαίως τὰ συνεχῆ πιλήματα τοῦ νέφους, βρόμον καὶ πάταγον ἀπειργάσατο μέγαν, βροντὴ λεγόμενον, ὥσπερ ἐν ὕδατι πνεῦμα σφοδρῶς ἐλαυνόμενον. κατὰ δὲ τὴν τοῦ νέφους ἔκρηξιν πυρωθὲν τὸ πνεῦμα καὶ λάμψαν, ἀστραπὴ λέγεται. ὃ δὴ πρότερον τῆς βροντῆς προσέπεσεν, ὕστερον γινόμενον. ἐπεὶ τὸ ἀκουστὸν ὑπὸ τοῦ ὁρατοῦ πέφυκε φθάνεσθαι· τοῦ μὲν, καὶ πόρρωθεν ὁρωμένου· τοῦ δὲ, ἐπειδὰν ἐμπελάσῃ τῇ ἀκοῇ. καὶ μάλιστα ὅταν τὸ μὲν τάχιστον ᾖ τῶν ὄντων. λέγω δὲ τὸ πυρῶδες· τὸ δὲ ἧττον ταχὺ, ἀερῶδες ὂν ἐν τῇ πλήξει πρὸς ἀκοὴν ἀφικνούμενον. τὸ δὲ ἀστράψαν ἀναπυρωθὲν βιαίως ἄχρι τῆς γῆς διεκθέον, κεραυνὸς καλεῖται· ἐὰν δὲ ἡμίπυρον ᾖ, σφοδρὸν δὲ ἄλλως καὶ ἀθρόον, πρηστήρ· ἐὰν δὲ ἄπυρον ᾖ παντε-

Notus
Euronotus
Libonotus
Libophoenix
Caecias flxei flatu unde & nubes in se attrahit
Etesiae
Ornithiae
Cataegis
Thyella
Laelaps
Strobilos
Anaphysema terrae
Prester ~~a turbo~~ terrestris .i. turbo terrest.
Tonitrus causa
Fulgur.
Prius videri fulgur quam audiatur tonitrus cum posterius fiat. quia videlicet praeverti aptum est quod auditur ab eo quod cernitur
Fulmen
Prester

Typhō
Sceptos
Psoloentes fulmina
Argetes
Helicie
Scepti
Iris
Virgule
Fulgores
Stelle transcurrentes
Cometae

Iris . quid
Virga qd
Halos .i. corona qd
Fulgor qd.
Iridē nocturnam agnoscit hic Aristotelēs
Iaculū qd
Firmitas
Cometa
Lampades
Trabeculæ
Dolia
Foveæ
ἀμφιφαῆ ad utrāq: regionē vertit

λως, τυφῶν· ἑκάστου δὲ τούτων κατασκήψαντος εἰς τὴν γῆν, σκηπτὸς ὀνομάζεται. τῶν δὲ κεραυνῶν οἱ μὲν αἰθαλώδεις, ψολόεντες λέγονται, οἱ δὲ ταχέως διάττοντες, ἀργῆτες· ἑλικίαι δὲ οἱ γραμμοειδῶς φερόμενοι· σκηπτοὶ δὲ, ὅσοι κατασκήπτουσιν εἴς τι. συλλήβδην δὲ τῶν ἐν ἀέρι φαντασμάτων, τὰ μέν ἐστι κατ᾽ ἔμφασιν· τὰ δὲ, καθ᾽ ὑπόστασιν· κατ᾽ ἔμφασιν μὲν, ἴριδες καὶ ῥάβδοι καὶ τὰ τοιαῦτα· καθ᾽ ὑπόστασιν δὲ, σέλα τε καὶ διάττοντες καὶ κομῆται καὶ τὰ τούτοις παραπλήσια. ἶρις μὲν οὖν ἐστιν ἔμφασις ἡλίου τμήματος ἢ σελήνης ἐν νέφει νοτερῷ καὶ κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν ὡς ἐν κατόπτρῳ θεωρουμένη, κατὰ κύκλου περιφέρειαν. ῥάβδος δέ ἐστιν ἴριδος ἔμφασις εὐθεῖα. ἅλως δέ ἐστιν ἔμφασις λαμπρότητος ἄστρου περιαυγής· διαφέρει δὲ ἴριδος, ὅτι ἡ μὲν ἶρις ἐξ ἐναντίας φαίνεται ἡλίου καὶ σελήνης· ἡ δὲ ἅλως, κύκλῳ παντὸς ἄστρου. σέλας δέ ἐστι πυρὸς ἀθρόου ἔξαψις ἐν ἀέρι. τῶν δὲ σελάων, ἃ μὲν ἀκοντίζεται, ἃ δὲ στηρίζεται. ὁ μὲν οὖν ἀκοντισμός ἐστι πυρὸς γένεσις ἐκ παρατρίψεως ἐν ἀέρι φερομένου ταχέως καὶ φαντασίαν μήκους ἐμφαίνοντος διὰ τὸ τάχος. ὁ δὲ στηριγμός ἐστι χωρὶς φορᾶς προμήκης ἔκτασις καὶ οἷον ἄστρου ῥύσις, πλατυνομένη δὲ κατὰ θάτερον, κομήτης καλεῖται. πολλάκις δὲ τῶν σελάων, τὰ μὲν ἐπιμένει πλείονα χρόνον, τὰ δὲ, παραχρῆμα σβέννυται. πολλαὶ δὲ καὶ ἄλλαι φαντασμάτων ἰδέαι θεωροῦνται, λαμπάδες τε καλούμεναι καὶ δοκίδες καὶ πίθοι καὶ βόθυνοι, κατὰ τὴν πρὸς ταῦτα ὁμοιότητα, ὧδε προσαγορευθεῖσαι. καὶ τὰ μὲν τούτων, ἑσπέρια· τὰ δὲ, ἑῷα· τὰ δὲ, ἀμφιφαῆ θεωρεῖται· σπανίως δὲ βόρεια καὶ νότια. πάντα δὲ ἀβέβαια. οὐδέποτε γάρ τι τούτων ἀεὶ φανερὸν ἱστόρηται κατεστηριγμένον. τὰ μὲν οὖν ἀέρια, τοιαῦτα. περιέχει δὲ καὶ ἡ γῆ πολλὰς ἐν αὑτῇ, καθάπερ ὕδατος, οὕτω καὶ πνεύματος καὶ πυρὸς πηγάς. τούτων δὲ, αἱ μὲν ὑπὸ γῆν εἰσὶν ἀόρατοι· πολλαὶ δὲ ἀναπνοὰς ἔχουσι καὶ ἀναφυσήσεις.



ἀναφυσήσεις, ὥσπερ Λιπάρα τε καὶ Αἴτνη καὶ τὰ ἐν Αἰόλου νήσοις· αἳ δὴ καὶ ῥέουσι πολλάκις ποταμῶν δίκην, καὶ μύδρους ἀναρριπτοῦσι διαπύρους. ἔνιαι δὲ ὑπὸ γῆν οὖσαι πλησίον πηγαίων ὑδάτων, θερμαίνουσι ταῦτα, καὶ τὰ μὲν, χλιαρὰ τῶν ναμάτων ἀνιᾶσι· τὰ δὲ, ὑπέρζεστα· τὰ δὲ, εὖ ἔχοντα κράσεως. ὁμοίως δὲ καὶ τῶν πνευμάτων πολλὰ πολλαχοῦ γῆς στόμια ἀνέῳκται· ὧν τὰ μὲν, ἐνθουσιᾶν ποιεῖ τοὺς ἐμπελάζοντας· τὰ δὲ, ἀτροφεῖν· τὰ δὲ, χρησμῳδεῖν, ὥσπερ τὰ ἐν Δελφοῖς καὶ τὰ ἐν Λεβαδείᾳ· τὰ δὲ καὶ παντάπασιν ἀναιρεῖ, καθάπερ τὸ ἐν Φρυγίᾳ. πολλάκις δὲ καὶ συγγενὲς πνεῦμα εὔκρατον ἐν γῇ παρεξωσθὲν εἰς μυχίους σήραγγας αὐτῆς, ἔξεδρον γενόμενον ἐκ τῶν οἰκείων τόπων, πολλὰ μέρη συνεκράδανε. πολλάκις δὲ πολὺ γενόμενον ἔξωθεν ἐγκατειλήθη τοῖς ταύτης κοιλώμασι, καὶ ἀποκλεισθὲν ἐξόδου, μετὰ βίας αὐτὴν συνετίναξε, ζητοῦν ἔξοδον ἑαυτῷ, καὶ ἀπειργάσατο πάθος τοῦτο, ὃ καλεῖν εἰώθαμεν σεισμόν. τῶν δὲ σεισμῶν, οἱ μὲν εἰς πλάγια σείοντες κατ᾽ ὀξείας γωνίας, ἐπικλίνται καλοῦνται. οἱ δὲ ἄνω ῥιπτοῦντες καὶ κάτω κατ᾽ ὀρθὰς γωνίας, βράσται. οἱ δὲ συνιζήσεις ποιοῦντες εἰς τὰ κοῖλα, χασματίαι. οἱ δὲ χάσματα ἀνοίγοντες καὶ τὴν γῆν ἀναρρηγνύντες, ῥῆκται καλοῦνται. τούτων δὲ, οἱ μὲν καὶ πνεῦμα προσαναβάλλουσιν· οἱ δὲ, πέτρας· οἱ δὲ, πηλόν· οἱ δὲ, πηγὰς φαίνουσι τὰς πρότερον οὐκ οὔσας. τινὲς δὲ ἀνατρέπουσι κατὰ μίαν πρόωσιν, οὓς καλοῦσιν ὦστας. οἱ δὲ ἀναπάλλοντες καὶ ταῖς εἰς ἑκάτερον ἐγκλίσεσι καὶ ἀποπάλσεσι διορθοῦντες ἀεὶ τὸ σειόμενον, παλματίαι λέγονται, τρόμῳ πάθος ὅμοιον ἀπεργαζόμενοι. γίνονται δὲ καὶ μυκητίαι σεισμοί, σείοντες τὴν γῆν μετὰ βρόμου. πολλάκις δὲ καὶ χωρὶς σεισμοῦ γίνεται μύκημα γῆς, ὅταν τὸ πνεῦμα σείειν μὲν μὴ ᾖ αὔταρκες, ἐνειλούμενον δὲ ἐν αὐτῇ κόπτηται μετὰ ῥοθίου βίας. σωματοποιεῖται δὲ τὰ εἰσιόντα πνεύματα καὶ ὑπὸ τῶν ἐν τῇ γῇ ὑγρῶν κεκρυμμένων. τὰ δὲ ἀνάλογον συμπίπτει τούτοις καὶ ἐν θαλάσσῃ. χάσματά τε γὰρ γίνεται θαλάσσης καὶ ἀναχωρήματα

Lipara
Aetna
Aeoli insule
μύδρους
Spiritus terre multos homines divinos fecit furore percitos . alios inedie patientes . alios futurorū presagos
Delphi
Lebadia
Phrygie halitus terre perimit
Terremotus causa & genera
Epiclintæ
Brastæ
Chasmatiæ
Rectæ
Ostæ
Palmatiæ
Mycetiæ
Hiatus & discessiones maris

τα πολλάκις δὲ κυμάτων ἐπιδρομαὶ παρὰ μὲν ἄλλαι ἀκοσμήτους
ἔχωσαν· ποτὲ δὲ πρόσω μόνιμοι ὥσπερ ἱστορεῖται περὶ Ἑλίκην τε
καὶ Βοῦραν· πολλάκις δὲ καὶ ἀναφυσήματα γίνεται πυρὸς
ἐν τῇ θαλάσσῃ· καὶ πηγῶν ἀναβλύσεις· καὶ ποταμῶν ἐκβολαί·
καὶ δένδρων ἐκφύσεις· ῥοαί τε καὶ δῖναι, ταῖς τῶν πνευμάτων
ἀνάλογον· αἱ μὲν ἐν μέσοις πελάγεσιν· αἱ δὲ κατὰ τοὺς εὐρίπους τε
καὶ πορθμούς· πολλαὶ δὲ ἀμπώτεις λέγονται καὶ κυμάτων ἄρσεις συμπεριο-
δεύειν ἀεὶ τῇ σελήνῃ κατά τινας ὡρισμένους καιρούς· ὡς δὲ τὸ πᾶν εἰπεῖν τῶν στοι-
χείων ἐγκεκραμένων ἀλλήλοις, ἐν ἀέρι τε καὶ γῇ καὶ θαλάσσῃ κατὰ τὸ εἰκός,
αἱ τῶν παθῶν ὁμοιότητες συνίστανται· τοῖς μὲν ἐπὶ μέρους φθορὰς
καὶ γενέσεις φέρουσαι· τὸ δὲ σύμπαν ἀνώλεθρόν τε καὶ ἀγένητον
φυλάττουσαι. Καίτοι γέ τις ἐθαύμασε, πῶς ποτε εἰ ἐκ τῶν ἐναντίων
ἀρχῶν συνέστηκεν ὁ κόσμος, λέγω δὴ ξηρῶν τε καὶ ὑγρῶν ψυχρῶν τε
καὶ θερμῶν, οὐ πάλαι διέφθαρται καὶ ἀπόλωλεν· ὡς κἂν εἰ πόλιν τινὲς
θαυμάζοιεν, ὅπως διαμένει συνεστηκυῖα ἐκ τῶν ἐναντιωτάτων ἐθνῶν
πενήτων λέγω καὶ πλουσίων· νέων γερόντων· ἀσθενῶν ἰσχυρῶν· πο-
νηρῶν χρηστῶν· ἀγνοοῦσι δὲ ὅτι τοῦτ' ἦν πολιτικῆς ὁμονοίας τὸ θαυ-
μασιώτατον· λέγω δὲ ὅτι ἐκ πολλῶν μίαν καὶ ὁμοίαν ἐξ ἀνο-
μοίων ἀποτελεῖ διάθεσιν, ὑποδεχομένη πᾶσαν καὶ φύσιν καὶ τύχην. ἴ-
σως δὲ καὶ τῶν ἐναντίων ἡ φύσις γλίχεται· καὶ ἐκ τούτων ἀποτελεῖν
τὸ σύμφωνον· οὐκ ἐκ τῶν ὁμοίων· ὥσπερ ἀμέλει τὸ ἄρρεν συνή-
γαγε πρὸς τὸ θῆλυ, καὶ οὐχ ἑκάτερον πρὸς τὸ ὁμόφυλον· καὶ τὴν
πρώτην ὁμόνοιαν διὰ τῶν ἐναντίων συνῆψεν· οὐ διὰ τῶν ὁμοίων·
ἔοικε δὲ καὶ ἡ τέχνη τὴν φύσιν μιμουμένη τοῦτο ποιεῖν· ζω-
γραφία μὲν γὰρ λευκῶν τε καὶ μελάνων, ὠχρῶν τε καὶ ἐρυθρῶν
χρωμάτων ἐγκερασαμένη φύσεις, τὰς εἰκόνας τοῖς προηγουμέ-
νοις ἀπετέλεσε συμφώνους· μουσικὴ δὲ ὀξεῖς ἅμα καὶ βαρεῖς μα-
κρούς τε καὶ βραχεῖς φθόγγους μίξασα ἐν διαφόροις φωναῖς,
μίαν ἀπετέλεσεν ἁρμονίαν· γραμματικὴ δὲ ἐκ φωνηέντων
καὶ ἀφώνων γραμμάτων κρᾶσιν ποιησαμένη τὴν ὅλην τέχνην

ἀπ' αὐτῶν

Helice
Bura
ἀμπώτεις aestus
ἄρσεις κυμάτων· inundationes aquarum. Aleyotu uide an legendū ἄρσεις
Per partes ipsius mundi interitus fit & ortus/at uniuersitas nec natiua nec mortalis est
Ars imitata est naturā
Musices toni
Acuti
Graues
Longi
~~Grau~~
Breues



ἀπ' αὐτῶν συνεστήσατο. ταὐτὸ δὲ τοῦτο ἦν, καὶ τὸ παρὰ τῷ σκο-
τεινῷ λεγόμενον Ἡρακλείτῳ· συνάψιας ὅλα, καὶ οὐχ ὅλα· συμ-
φερόμενον καὶ διαφερόμενον· συνᾷδον καὶ διᾷδον· καὶ ἐκ πάν-
των ἓν, καὶ ἐξ ἑνὸς πάντα. οὕτως οὖν καὶ τὴν τῶν ὅλων σύστασιν
οὐρανοῦ λέγω καὶ γῆς, τοῦ τε σύμπαντος κόσμου διὰ τῆς τῶν ἐ-
ναντιωτάτων ἀρχῶν κράσεως μία διεκόσμησεν ἁρμονία· ξηρὸν
δὲ ὑγρῷ, θερμὸν δὲ ψυχρῷ, βαρεῖ τε κοῦφον μιγέν, καὶ ὀρθὸν περι-
φερεῖ, γῆν τε πᾶσαν καὶ θάλασσαν αἰθέρα τε καὶ ἥλιον καὶ σελή-
νην, καὶ τὸν ὅλον οὐρανὸν διεκόσμησε, μία ἡ διὰ πάντων διήκου-
σα δύναμις ἐκ τῶν ἀμίκτων καὶ ἑτεροίων, ἀέρος τε καὶ γῆς· καὶ
πυρὸς καὶ ὕδατος, τὸν σύμπαντα κόσμον δημιουργήσασα καὶ
μιᾷ διαλαβοῦσα σφαίρας ἐπιφανείᾳ· τάς τε ἐναντιωτάτας ἐν
αὐτῷ φύσεις ἀλλήλαις ἀναγκάσασα ὁμολογῆσαι· καὶ ἐκ τούτων
μηχανησαμένη τῷ παντὶ σωτηρίαν. αἰτία δὲ ταύτης μὲν ἡ τῶν στοιχεί-
ων ὁμολογία· τῆς δὲ ὁμολογίας, ἡ ἰσομοιρία καὶ τὸ μηδὲν αὐ-
τῶν πλέον ἐπὶ θατέρου δύνασθαι· τὴν γὰρ ἴσην ἀντίστασιν ἔχει τὰ βα-
ρέα πρὸς τὰ κοῦφα· καὶ τὰ θερμὰ πρὸς τὰ θάτερα· τῆς φύ-
σεως ἐπὶ τῶν μειζόνων διδασκούσης, ὅτι τὸ ἴσον σωστικόν πως
ἐστὶν ὁμονοίας· ἡ δὲ ὁμόνοια τοῦ πάντων γενετῆρος καὶ περικαλλεστά-
του κόσμου· τίς γὰρ ἂν εἴη φύσις τοῦδε κρείττων; ἣν γὰρ ἂν εἴποι τις
μέρος ἐστὶν αὐτοῦ· τό τε καλὸν πᾶν ἐπώνυμόν ἐστι τούτου· καὶ
τὸ τεταγμένον ἀπὸ τοῦ κόσμου λεγόμενον κεκοσμῆσθαι· τίς δὲ τῶν
ἐπὶ μέρους δύναιτ' ἂν ἐξισωθῆναι τῇ κατ' οὐρανοῦ τάξει τε καὶ
φορᾷ ἄστρων ἡλίου τε καὶ σελήνης κινουμένων ἐν ἀκριβεστάτοις
μέτροις ἐξ αἰῶνος εἰς ἕτερον αἰῶνα· τίς δὲ γένοιτ' ἂν ἀψεύδεια
τοιάδε, ἥντινα φυλάττουσιν αἱ καλαὶ καὶ γόνιμοι τῶν ὅλων ὧραι,
θέρη τε καὶ χειμῶνας ἐπάγουσαι τεταγμένως· ἡμέρας τε καὶ
νύκτας εἰς μηνὸς ἀποτέλεσμα καὶ ἐνιαυτοῦ· καὶ μὴν μεγέθει
μὲν ὁ αὐτὸς παμπέρτατος· κινήσει δὲ ὀξύτατος· λαμπρό-
τητι δὲ εὐαγέστατος· δυνάμει δὲ ἀγήρως τε καὶ ἄφθαρτος· πρὸς ἐνα-

δηλονότι κόσμος

Heraclitus Scotinus
ὁμολογία & mutua consensio

~~Mundus a deo gubernatur~~

νεοχμώσεις novitates

ἐξαίσιοι rapidorum

ἀντιπεριισταμένων

Antiquus sermo & patrius omnium hominum

De divina providentia

ζώων καὶ πεζῶν καὶ ἀερίων φύσεις ἐχώρησε, καὶ βίους ἐμέτρησε ταῖς ἑαυτοῦ κινήσεσιν. ἐκ τούτου πάντα ἐμπνεῖ τε καὶ ψυχὴν ἴσχει τὰ ζῷα. τούτου καὶ τὰ παράδοξα νεοχμώσεις τεταγμένως ἀποτελεῖται, συρραγέντων μὲν ἀνέμων παντοίων, πιπτόντων δὲ ἐξ οὐρανοῦ κεραυνῶν, ἐκρηγνυμένων δὲ χειμώνων ἐξαισίων. διὰ δὲ τούτων τὸ νοτερὸν ἐκπιεζόμενον, τό τε πυρῶδες διαπνεόμενον, εἰς ὁμόνοιαν ἄγει τὸ πᾶν καὶ καθίστησιν. ἥ τε γῆ φυτοῖς κομῶσα παντοδαποῖς, νάμασί τε περιβλύζουσα καὶ περιοχουμένη ζῴοις, κατὰ καιρὸν ἐκφύουσά τε πάντα καὶ ἐκτρέφουσα καὶ δεχομένη, μυρίας τε φέρουσα ἰδέας καὶ πάθη, τὴν ἀγήρω φύσιν ὁμοίως τηρεῖ, καίτοι καὶ σεισμοῖς τινασσομένη καὶ πλημμυρίσιν ἐπικλυζομένη, πυρκαϊαῖς τε κατὰ μέρος φλογιζομένη. ταῦτα δὲ πάντα ἔοικεν αὐτῇ πρὸς ἀγαθὸν γινόμενα τὴν δι' αἰῶνος σωτηρίαν παρέχειν· σειομένης τε γὰρ διεξάττουσιν αἱ τῶν πνευμάτων παρεμπτώσεις κατὰ τὰ ῥήγματα τὰς ἀναπνοὰς ἴσχουσαι, καθὼς ἀνωλέλεκται· καθαιρομένη τε ὄμβροις ἀποκλύζεται πάντα τὰ νοσώδη, περιπνεομένη δὲ ταῖς αὔραις, τά τε ὑπ' αὐτὴν καὶ τὰ ὑπὲρ αὐτὴν εἰλικρινεῖται. καὶ μὴν αἱ φλόγες μὲν τὸ παγετῶδες ὑπαινοῦσιν, οἱ πάγοι δὲ τὰς φλόγας ἀνιᾶσι. καὶ τῶν ἐπὶ μέρους τὰ μὲν γίνεται, τὰ δὲ ἀκμάζει, τὰ δὲ φθείρεται· καὶ αἱ μὲν γενέσεις ἐπανατέλλουσι τὰς φθοράς, αἱ δὲ φθοραὶ κουφίζουσι τὰς γενέσεις· μία δὲ ἐκ πάντων περαινομένη σωτηρία διὰ τέλους, ἀντιπεριισταμένων ἀλλήλοις καὶ τοτὲ μὲν κρατούντων, τοτὲ δὲ κρατουμένων, φυλάττει τὸ σύμπαν ἄφθαρτον δι' αἰῶνος. λοιπὸν δὴ περὶ τῆς τῶν ὅλων συνεκτικῆς αἰτίας κεφαλαιωδῶς εἰπεῖν, ὃν τρόπον καὶ περὶ τῶν ἄλλων· πλημμελὲς γὰρ περὶ κόσμου λέγοντας, εἰ καὶ μὴ δι' ἀκριβείας, ἀλλ' οὖν γε ὡς εἰς τυπώδη μάθησιν, τὸ τοῦ κόσμου κυριώτατον παραλιπεῖν. ἀρχαῖος μὲν οὖν τις λόγος καὶ πάτριός ἐστι πᾶσιν ἀνθρώποις, ὡς ἐκ θεοῦ τὰ πάντα καὶ διὰ θεοῦ ἡμῖν συνέστηκεν. οὐδεμία δὲ φύσις αὐτὴ καθ' ἑαυτὴν αὐτάρκης, ἐρημωθεῖσα τῆς ἐκ τούτου σωτηρίας. διὸ καὶ τῶν παλαιῶν εἰπεῖν τινες προήχθησαν, ὅτι πάντα ταῦτά ἐστι θεῶν πλέα, τὰ καὶ δι' ὀφθαλμῶν ἰνδαλ-



λόμενα ἡμῖν καὶ δι' ἀκοῆς καὶ πάσης αἰσθήσεως, τῇ μὲν θείᾳ δυνάμει πρέποντα καταβαλλόμενοι λόγον, οὐ μὴν τῇ γε οὐσίᾳ. σωτὴρ μὲν γὰρ ὄντως ἁπάντων ἐστὶ καὶ γενέτωρ τῶν ὁπωσδήποτε κατὰ τόνδε τὸν κόσμον συντελουμένων ὁ θεός, οὐ μὴν αὐτουργοῦ καὶ ἐπιπόνου ζῴου κάματον ὑπομένων, ἀλλὰ δυνάμει χρώμενος ἀτρύτῳ, δι' ἧς καὶ τῶν πόρρω δοκούντων εἶναι περιγίνεται. τὴν μὲν οὖν ἀνωτάτω καὶ πρώτην ἕδραν αὐτὸς ἔλαχεν, ὕπατός τε διὰ τοῦτο ὠνόμασται, καὶ κατὰ τὸν ποιητὴν ἀκροτάτῃ κορυφῇ τοῦ σύμπαντος ἐγκαθιδρυμένος οὐρανοῦ· μάλιστα δέ πως αὐτοῦ τῆς δυνάμεως ἀπολαύει τὸ πλησίον αὐτοῦ σῶμα, καὶ ἔπειτα τὸ μετ' ἐκεῖνο, καὶ ἐφεξῆς οὕτως ἄχρι τῶν καθ' ἡμᾶς τόπων. διὸ γῆ τε καὶ τὰ ἐπὶ γῆς ἔοικεν ἐν ἀποστάσει πλείστῃ τῆς ἐκ θεοῦ ὄντα ὠφελείας ἀσθενῆ καὶ ἀκατάλληλα εἶναι καὶ πολλῆς μεστὰ ταραχῆς. οὐ μὴν ἀλλὰ καὶ καθόσον ἐπὶ πᾶν διικνεῖσθαι πέφυκε τὸ θεῖον, καὶ τὰ καθ' ἡμᾶς ὁμοίως συμβαίνει, τά τε ὑπὲρ ἡμᾶς, κατὰ τὸ ἐγγιόν τε καὶ πορρώτερον θεοῦ εἶναι μᾶλλον δὲ καὶ ἧττον ὠφελείας μεταλαμβάνοντα. κρεῖττον οὖν ὑπολαβεῖν, ὃ καὶ πρέπον ἐστὶ καὶ θεῷ μάλιστα ἁρμόζον, ὡς ἡ ἐν οὐρανῷ δύναμις ἱδρυμένη καὶ τοῖς πλεῖστον ἀφεστηκόσιν, ὡς ἔνι γε εἰπεῖν, καὶ σύμπασιν αἴτιος γίνεται σωτηρίας, μᾶλλον ἢ ὡς διήκουσα καὶ φοιτῶσα ἔνθα μὴ καλὸν μηδὲ εὔσχημον αὐτουργεῖν τὰ ἐπὶ γῆς. τοῦτο μὲν γὰρ οὐδὲ ἀνθρώπων ἡγεμόσιν ἁρμόττει, παντὶ καὶ τῷ τυχόντι ἐφίστασθαι ἔργῳ· οἷον στρατιᾶς ἄρχοντι ἢ πόλεως ἢ οἴκου· καὶ εἰ χρεὼν στρωματόδεσμον ἐνδῆσαι καί τι φαυλότερον ἀποτελεῖν ἔργον, ὃ ἐπὶ τοῦ μεγάλου βασιλέως οὐκ ἂν τὸ τυχὸν ἀνδράποδον ποιήσειεν· ἀλλ' οἷον ἱστορεῖται τὸ Καμβύσου Ξέρξου τε καὶ Δαρείου πρόσχημα, εἰς σεμνότητος καὶ ὑπεροχῆς ὕψος μεγαλοπρεπῶς διεκεκόσμητο. αὐτὸς μὲν γάρ, ὡς λόγος, ἵδρυτο ἐν Σούσοις ἢ Ἐκβατάνοις, παντὶ ἀόρατος, θαυμαστὸν ἐπέχων βασίλειον οἶκον καὶ περίβολον χρυσῷ καὶ ἠλέκτρῳ καὶ ἐλέ-

ὕπατος Ζεύς

Homer

Cambyses

Xerxes

Darius

Susa

Ecbatana

φαντασία στράπτοντα. πυλῶνες δὲ πολλοὶ καὶ συνεχεῖς, πρόθυρά
τε συχνοῖς εἰργόμενα σταδίοις ἀπ' ἀλλήλων, θύραις τε χαλκαῖς
καὶ τείχεσι μεγάλοις ὠχύρωτο. ἔξω δὲ τούτων ἄνδρες οἱ πρῶτοι
καὶ δοκιμώτατοι διεκεκόσμηντο. οἱ μὲν ἀμφ' αὐτὸν βασιλέα δορυ-
φόροι τε καὶ θεράποντες. οἱ δὲ, ἑκάστου περιβόλου φύλακες, πυλω-
ροί τε καὶ ὠτακουστοὶ λεγόμενοι. ὡς ἂν ὁ βασιλεὺς αὐτὸς δεσπότης
καὶ θεὸς ὀνομαζόμενος, πάντα μὲν βλέποι, πάντα δὲ ἀκούοι.
χωρὶς δὲ τούτων ἄλλοι καθειστήκεσαν προσόδων ταμίαι, καὶ
στρατηγοὶ πολέμων καὶ κυνηγεσίων, δώρων τε ἀποδεκτῆρες.
τῶν τε λοιπῶν ἔργων ἕκαστοι κατὰ τὰς χρείας ἐπιμεληταί.
τὴν δὲ σύμπασαν ἀρχὴν τῆς ἀσίας περατουμένην, ἑλλησπόντῳ
μὲν ἐκ τῶν πρὸς ἑσπέραν μερῶν, ἰνδῷ δὲ, ἐκ τῶν πρὸς ἕω, διειλή-
φεσαν κατὰ ἔθνη στρατηγοὶ καὶ σατράπαι καὶ βασιλεῖς, δοῦλοι τοῦ
μεγάλου βασιλέως. ἡμεροδρόμοι τε καὶ σκοποὶ, καὶ ἀγγελιαφό-
ροι καὶ φύλακες, φρυκτωριῶν τε ἐποπτῆρες. τοσοῦτος δὲ ἦν ὁ κόσμος
καὶ μάλιστα τῶν φρυκτωριῶν κατὰ διαδοχὰς πυρσευουσῶν ἀλ-
λήλοις ἐκ περάτων τῆς ἀρχῆς μέχρι σούσων καὶ ἐκβατάνων.
ὥστε τὸν βασιλέα γινώσκειν αὐθημερὸν πάντα τὰ ἐν τῇ ἀσίᾳ
καινουργούμενα. νομιστέον δὴ τὴν τοῦ μεγάλου βασιλέως ὑπε-
ροχὴν πρὸς τὴν τοῦ τὸν κόσμον ἐπέχοντος θεοῦ, τοσοῦτον κα-
ταδεεστέραν ὅσον τῆς ἐκείνου, τὴν τοῦ φαυλοτάτου τε, καὶ ἀσθε-
νεστάτου ζώου. ὥστε εἴπερ ἄσεμνον ἦν αὐτῷ, αὐτὸν δοκεῖν ξέρξην
αὐτουργεῖν ἅπαντα, καὶ διατελεῖν ἃ βούλοιτο, καὶ ἐφιστάμε-
νον διοικεῖν, πολὺ μᾶλλον ἀπρεπὲς ἂν εἴη τοῦτο θεῷ. σεμνότε-
ρον δὲ καὶ πρεπωδέστερον, αὐτὸν μὲν ἐπὶ τῆς ἀνωτάτω χώρας
ἱδρῦσθαι, τὴν δὲ δύναμιν διὰ τοῦ σύμπαντος κόσμου διήκουσαν,
ἥλιόν τε κινεῖν καὶ σελήνην, καὶ τὸν πάντα οὐρανὸν περιάγειν.
αἴτιόν τε γίνεσθαι τοῖς ἐπὶ τῆς γῆς σωτηρίας. οὐδὲν γὰρ ἐπιτεχνήσεως
αὐτῷ δεῖ καὶ ὑπηρεσίας τῆς παρ' ἑτέρων, ὥσπερ τοῖς παρ'
ἡμῖν ἄρχουσι τῆς πολυχειρίας διὰ τὴν ἀσθένειαν. ἀλλὰ τοῦτο
ἦν τὸ

ἡμεροδρόμοι
σκοποί
ἀγγελιαφόροι
φύλακες
φρυκτωριῶν ἐπόπτηρες



ἦν τὸ θειότατον, τὸ μετὰ ῥᾳστώνης καὶ ἁπλῆς κινήσεως παντοδα-
πὰς ἀποτελεῖν ἰδέας. ὥσπερ ἀμέλει δρῶσιν οἱ μεγαλώτεροι, διὰ
μιᾶς ὀργάνου χαστηρίας, πολλὰς καὶ ποικίλας ἐνεργείας ἀποτε-
λοῦντες. ὁμοίως δὲ καὶ οἱ νευροσπάσται μίαν μήρινθον ἐπισπασάμενοι,
ποιοῦσι καὶ αὐχένα κινεῖσθαι, καὶ χεῖρα τοῦ ζώου καὶ ὦμον, καὶ ὀφθαλμόν.
ἔστι δὲ ὅτε πάντα τὰ μέρη μετά τινος εὐρυθμίας. οὕτως οὖν καὶ ἡ θεία
φύσις ἀπό τινος ἁπλῆς κινήσεως τοῦ πρώτου τὴν δύναμιν εἰς
τὰ συνεχῆ δίδωσι, καὶ ἀπ' ἐκείνων πάλιν εἰς τὰ πορρωτέρω,
μέχρις ἂν διὰ τοῦ παντὸς διεξέλθῃ. κινηθὲν γὰρ ἕτερον ὑφ' ἑτέρου,
καὶ αὐτὸ πάλιν ἐκίνησεν ἄλλο σὺν κόσμῳ, δρώντων μὲν πάντων οἰ-
κείως ταῖς σφετέραις κατασκευαῖς, οὐ τῆς αὐτῆς δὲ ὁδοῦ πᾶσιν οὔσης.
ἀλλὰ διαφόρου καὶ ἑτεροίας, ἔστι δὲ οἷς καὶ ἐναντίας. καίτοι τῆς πρώτης
οἷον ἐνδόσεως εἰς κίνησιν μίαν γενομένης. ὥσπερ ἂν εἴ τις ἐξ ἀγγείου
ὁμοῦ ῥίψειε σφαῖραν καὶ κύβον, καὶ κῶνον, καὶ κύλινδρον. ἕκαστον γὰρ
αὐτῶν κατὰ τὸ ἴδιον κινηθήσεται σχῆμα. ἢ εἴ τις ὁμοῦ ζῶον ἔνυ-
δρόν τε καὶ χερσαῖον καὶ πτηνὸν ἐν τοῖς κόλποις ἔχων ἐκβάλοι.
δῆλον γὰρ ὅτι τὸ μὲν νηκτὸν ἁλόμενον εἰς τὴν ἑαυτοῦ δίαιταν ἐκ-
νήξεται. τὸ δὲ χερσαῖον, εἰς τὰ σφέτερα ἤθη καὶ νομοὺς διεξερπύσει.
τὸ δὲ ἀέριον ἐξαρθὲν ἐκ γῆς, μετάρσιον οἰχήσεται πετόμενον.
μιᾶς τῆς πρώτης αἰτίας, πᾶσιν ἀποδούσης τὴν οἰκείαν εὐμάρει-
αν. οὕτως ἔχει καὶ ἐπὶ κόσμου. διὰ γὰρ ἁπλῆς τοῦ σύμπαντος οὐρανοῦ
περιαγωγῆς ἡμέρᾳ καὶ νυκτὶ περατουμένης, ἄλλοιαι πάντων
διέξοδοι γίνονται. καίτοι ὑπὸ μιᾶς σφαίρας περιεχομένων τῶν
μὲν, θᾶττον. τῶν δὲ, σχολαιότερον κινουμένων, παρά τε τὰ τῶν
διαστημάτων μήκη καὶ τὰς ἰδίας ἑκάστων κατασκευάς. σελήνη
μὲν γὰρ, ἐν μηνὶ τὸν ἑαυτῆς διαπεραίνεται κύκλον, αὐξομένη
τε καὶ μειουμένη καὶ φθίνουσα. ἥλιος δὲ ἐν ἐνιαυτῷ, καὶ οἱ τού-
του ἰσόδρομοι, ὅ τε φωσφόρος καὶ ὁ ἑρμῆς λεγόμενος. ὁ δὲ πυ-
ρόεις, ἐν διπλασίονι τούτων χρόνῳ. ὁ δὲ διὸς, ἐν ἑξαπλασίονι τού-
του, καὶ τελευταῖος ὁ τοῦ κρόνου λεγόμενος ἐν διπλασίονι καὶ



νευροσπάσται ~~magno qui operis artifices~~ Alij
q chordis ductis certā
imagines diversas ante
oculos ponunt

μήρινθον chordā

εὐμάρειαν

φθίνουσα σελήνη

Tempora circuitus uniuscuiusq. planetarum

ἡμίσει τῶν ὑποκάτω· μία δὲ ἐκ πάντων ἁρμονία συναδόντων καὶ χορευόντων κατὰ τὸν οὐρανόν, ἐξ ἑνός τε γίνεται καὶ εἰς ἓν ἀπολήγει· κόσμον δ' ἐτύμως τὸ σύμπαν, ἀλλ' οὐκ ἀκοσμίαν ὀνομάσαις ἄν. καθάπερ δὲ ἐν χορῷ κορυφαίου κατάρξαντος, συνεπηχεῖ πᾶς ὁ χορὸς ἀνδρῶν, ἔσθ' ὅτε καὶ γυναικῶν, ἐν διαφόροις φωναῖς ὀξυτέραις καὶ βαρυτέραις μίαν ἁρμονίαν ἐμμελῆ κεραννύντων, οὕτως ἔχει καὶ ἐπὶ τοῦ τὸ σύμπαν διέποντος θεοῦ· κατὰ γὰρ τὸ ἄνωθεν ἐνδόσιμον ὑπὸ τοῦ φερωνύμως ἂν κορυφαίου προσαγορευθέντος, κινεῖται μὲν τὰ ἄστρα ἀεὶ καὶ ὁ σύμπας οὐρανός· πορεύεται δὲ διττὰς πορείας ὁ παμφαὴς ἥλιος· τῇ μὲν ἡμέραν καὶ νύκτα διορίζων ἀνατολῇ καὶ δύσει· τῇ δὲ τὰς τέσσαρας ὥρας ἄγων τοῦ ἔτους, πρόσω τε βόρειος καὶ ὀπίσω νότιος διεξέρπων· γίνονται δὲ ὑετοὶ κατὰ καιρὸν καὶ ἄνεμοι καὶ δρόσοι· τά τε πάθη τὰ ἐν τῷ περιέχοντι συμβαίνοντα διὰ τὴν πρώτην καὶ ἀρχαιόγονον αἰτίαν. ἕπονται δὲ τούτοις ποταμῶν ἐκροαί· θαλάσσης ἀνοιδήσεις· δένδρων ἐκφύσεις· καρπῶν πεπάνσεις· γοναὶ ζῴων· ἐκτροφαί τε πάντων καὶ ἀκμαὶ καὶ φθίσεις· συμβαλλομένης πρὸς ταῦτα καὶ τῆς ἑκάστου κατασκευῆς ὡς ἔφην. ὅταν οὖν ὁ πάντων ἡγεμών τε καὶ γενέτωρ, ἀόρατος ὢν ἄλλῳ πλὴν λογισμῷ, σημήνῃ πάσῃ φύσει μεταξὺ οὐρανοῦ τε καὶ γῆς φερομένῃ, κινεῖται πᾶσα ἐνδελεχῶς ἐν κύκλοις καὶ πέρασιν ἰδίοις, ποτὲ μὲν ἀφανιζομένη, ποτὲ δὲ φαινομένη, μυρίας ἰδέας ἀναφαίνουσά τε καὶ πάλιν ἀποκρύπτουσα ἐκ μιᾶς ἀρχῆς. ἔοικε δὲ κομιδῇ τὸ δρώμενον τοῖς ἐν πολέμου καιροῖς μάλιστα γινομένοις, ἐπειδὰν ἡ σάλπιγξ σημαίνῃ τῷ στρατοπέδῳ· τότε γὰρ τῆς φωνῆς ἕκαστος ἀκούσας, ὁ μὲν ἀσπίδα ἀναιρεῖται, ὁ δὲ θώρακα ἐνδύεται, ὁ δὲ κνημῖδας, ἢ κράνος, ἢ ζωστῆρα περιτίθεται· καὶ ὁ μὲν ἵππον χαλινοῖ, ὁ δὲ συνωρίδα ἀναβαίνει, ὁ δὲ σύνθημα παρεγγυᾷ· καθίσταται δὲ εὐθέως ὁ μὲν λοχαγὸς εἰς λόχον, ὁ δὲ ταξίαρχος εἰς τάξιν, ὁ δὲ ἱππεὺς ἐπὶ κέρας, ὁ δὲ ψιλὸς εἰς τὴν ἰδίαν ἐκτρέχει χώραν· πάντα δὲ ὑφ' ἕνα σημάντορα δονεῖται κατὰ πρόσταξιν τοῦ τὸ κράτος ἔχοντος ἡγεμόνος· οὕτω χρὴ καὶ περὶ

κορυφαῖος τοῦ χοροῦ

χαλινοῖ ἵππον



καὶ περὶ τοῦ σύμπαντος φρονεῖν· ὑπὸ γὰρ μιᾶς ῥοπῆς ὀτρυνομένων ἁπάντων, γίνεται τὰ οἰκεῖα καὶ ταύτης ἀοράτου καὶ ἀφανοῦς· ὅπερ οὐδαμῶς ἐστιν ἐμπόδιον, οὔτε ἐκείνῃ πρὸς τὸ δρᾶν, οὔτε ἡμῖν πρὸς τὸ πιστεῦσαι· καὶ γὰρ ἡ ψυχή, δι' ἣν ζῶμεν καὶ πόλεις καὶ οἴκους ἔχομεν, ἀόρατος οὖσα, τοῖς ἔργοις αὐτοῖς ὁρᾶται· πᾶς γὰρ ὁ τοῦ βίου διάκοσμος ὑπὸ ταύτης εὕρηται καὶ διατέτακται καὶ συνέχεται· γῆς ἀρόσεις καὶ φυτεύσεις· τέχνης ἐπίνοιαι· χρήσεις νόμων· κόσμος πολιτείας· ἔνδημοι πράξεις· ὑπερόριος πόλεμος· εἰρήνη. ταῦτα χρὴ καὶ περὶ θεοῦ διανοεῖσθαι· δυνάμει μὲν ὄντος ἰσχυροτάτου, κάλλει δὲ εὐπρεπεστάτου, ζωῇ δὲ ἀθανάτου, ἀρετῇ δὲ κρατίστου· διότι πάσῃ θνητῇ φύσει γενόμενος ἀθεώρητος, ἀπ' αὐτῶν τῶν ἔργων θεωρεῖται. τὰ γὰρ πάθη καὶ τὰ δι' ἀέρος ἅπαντα καὶ τὰ ἐπὶ γῆς καὶ τὰ ἐν ὕδατι, θεοῦ λέγοιτ' ἂν ὄντως ἔργα εἶναι τοῦ τὸν κόσμον ἐπέχοντος· ἐξ οὗ κατὰ τὸν φυσικὸν Ἐμπεδοκλέα, Empedocles

Γ ἄρθ' ὅσα τ' ἦν ὅσα τ' ἐστὶν ἰδ' ὅσσα τ' ἔσται ὀπίσω·

Δ ἐν δρεά τ' ἐβλάστησε καὶ ἀνέρες ἠδὲ γυναῖκες·

Θ ἧρες τ' οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς.

ἔοικε δὲ ὄντως, εἰ καὶ μικρότερον παραβάλλειν τὸν κόσμον, τοῖς ὀμφαλοῖς λεγομένοις τοῖς ἐν ταῖς ψαλίσι λίθοις· οἳ μέσοι κείμενοι κατὰ τὴν εἰς ἑκάτερον μέρος ἔνδεσιν ἐν ἁρμονίᾳ τηροῦσι καὶ ἐν τάξει τὸ πᾶν σχῆμα τῆς ψαλίδος καὶ ἀκίνητον. φασὶ δὲ καὶ τὸν ἀγαλματοποιὸν Φειδίαν κατασκευαζόμενον τὴν ἐν ἀκροπόλει Ἀθηνᾶν, ἐν μέσῃ τῇ ταύτης ἀσπίδι τὸ ἑαυτοῦ πρόσωπον ἐντυπώσασθαι, καὶ συνδῆσαι τῷ ἀγάλματι διά τινος ἀφανοῦς δημιουργίας· ὥστε ἐξ ἀνάγκης, εἴ τις βούλοιτο αὐτὸ περιαιρεῖν, τὸ σύμπαν ἄγαλμα λύειν τε καὶ συγχεῖν. τοῦτον οὖν ἔχει τὸν λόγον ὁ θεὸς ἐν κόσμῳ, συνέχων τὴν τῶν ὅλων ἁρμονίαν τε καὶ σωτηρίαν· πλὴν οὔτε μέσος ὢν ἔνθα ἡ γῆ τε καὶ ὁ θολερὸς οὗτος τόπος, ἀλλ' ἄνω καθαρὸς ἐν καθαρῷ χώρῳ βεβηκώς, ὃν ἐτύμως καλοῦμεν οὐρανὸν μὲν ἀπὸ τοῦ ὅρον εἶναι τῶν ἄνω, ὄλυμπον δέ, οἷον ὁλολαμπῆ καὶ παντὸς ζόφου

Lapilli q(ui) dicuntur umbilici in fornicib(us)

ψαλίδος fornices

Phidias

Acropoleos minerva a phidia constructa

οὐρανὸς πόθεν ἐκλήθη

ὄλυμπος πόθεν

ἀτάκτου κινήματος κεχωρισμένον, οἷα γίνεται παρ' ἡμῖν διὰ χειμῶνος καὶ ἀνέμων βίας, ὥσπερ ἔφη καὶ ὁ ποιητὴς Ὅμηρος·

Homer)

Οὔλυμπόνδ', ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ
ἔμμεναι· οὔτ' ἀνέμοισι τινάσσεται οὔτε ποτ' ὄμβρῳ
δεύεται· οὔτε χιὼν ἐπιπίλναται, ἀλλὰ μάλ' αἴθρη
πέπταται ἀνέφελος· λευκὴ δ' ἐπιδέδρομεν αἴγλη.

συνεπιμαρτυρεῖ δὲ καὶ ὁ βίος ἅπας, τὴν ἄνω χώραν ἀποδοὺς θεῷ· καὶ γὰρ πάντες οἱ ἄνθρωποι ἀνατείνομεν τὰς χεῖρας εἰς τὸν οὐρανὸν εὐχὰς ποιούμενοι. καθ' ὃν λόγον οὐ κακῶς κἀκεῖνο ἀναπεφώνηται·

Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι.

διὸ καὶ τῶν αἰσθητῶν τὰ τιμιώτατα, τὸν αὐτὸν ἐπέχει τόπον, ἄστρα τε καὶ ἥλιος καὶ σελήνη. μόνα τε τὰ οὐράνια διὰ τοῦτο ἀεὶ τὴν αὐτὴν σῴζοντα τάξιν διακεκόσμηται, καὶ οὔποτε ἀλλοιωθέντα μετεκινήθη· καθάπερ τὰ ἐπὶ γῆς εὔτρεπτα ὄντα, πολλὰς ἑτεροιώσεις καὶ πάθη ἀναδέδεκται. σεισμοί τε γὰρ ἤδη βίαιοι πολλὰ μέρη τῆς γῆς ἀνέρρηξαν· ὄμβροι τε κατέκλυσαν ἐξαίσιοι καταρραγέντες· ἐπιδρομαί τε κυμάτων καὶ ἀναχωρήσεις πολλάκις καὶ ἠπείρους ἐθαλάττωσαν καὶ θαλάττας ἠπείρωσαν· βίαι τε πνευμάτων καὶ τυφώνων ἔστιν ὅτε πόλεις ὅλας ἀνέτρεψαν· πυρκαϊαί τε καὶ φλόγες αἱ μὲν ἐξ οὐρανοῦ γενόμεναι πρότερον, ὥσπερ φασὶν ἐπὶ Φαέθοντος, τὰ πρὸς ἕω μέρη κατέφλεξαν, αἱ δὲ πρὸς ἑσπέρας ἐκ γῆς ἀναβλύσασαι καὶ ἐκφυσήσασαι, καθάπερ τῶν ἐν Αἴτνῃ κρατήρων ἀναρραγέντων, καὶ ἀνὰ τὴν γῆν φερομένων χειμάρρου δίκην. ἔνθα καὶ τὸ τῶν εὐσεβῶν γένος ἐξόχως ἐτίμησε τὸ δαιμόνιον, περικαταληφθέντων ὑπὸ τοῦ ῥεύματος διὰ τὸ βαστάζειν γέροντας ἐπὶ τῶν ὤμων γονεῖς καὶ σῴζειν. πλησίον γὰρ αὐτῶν γενόμενος ὁ τοῦ πυρὸς ποταμὸς ἐξεσχίσθη, παρέτρεψέ τε τὸ μὲν ἔνθα, τὸ δὲ ἔνθα, καὶ ἐτήρησεν ἀβλαβεῖς ἅμα τοῖς γονεῦσι τοὺς νεανίσκους. καθόλου δὲ ὅπερ ἐν νηὶ κυβερνήτης, ἐν ἅρματι δὲ ἡνίοχος, ἐν χορῷ δὲ κορυφαῖος, ἐν πόλει δὲ νόμος, ἐν στρατοπέδῳ δὲ ἡγεμών, τοῦτο θεὸς ἐν κόσμῳ, πλὴν καθ' ὅσον τοῖς μὲν καματηρὸν τὸ ἄρχειν πολυ-

Phaethō

Phaethōtis incendiū

De Dei prouidētia



κίνητόν τε καὶ πολυμέριμνον, τῷ δὲ ἄλυπον, ἄπονόν τε πάσης κεχωρισμένον σωματικῆς ἀσθενείας. ἐν ἀκινήτῳ γὰρ ἱδρυμένος, πάντα κινεῖ καὶ περιάγει ὅπου βούλεται καὶ ὅπως, ἐν διαφόροις ἰδέαις τε καὶ φύσεσιν, ὥσπερ ἀμέλει καὶ ὁ τῆς πόλεως νόμος ἀκίνητος ὢν ἐν ταῖς τῶν χρωμένων ψυχαῖς, πάντα οἰκονομεῖ τὰ κατὰ τὴν πολιτείαν. ἑπόμενοι γὰρ αὐτῷ δῆλον ὅτι ἐξίασιν, ἄρχοντες μὲν ἐπὶ τὰ ἀρχεῖα, θεσμοθέται δὲ εἰς τὰ οἰκεῖα δικαστήρια, βουλευταὶ δὲ καὶ ἐκκλησιασταὶ εἰς συνέδρια τὰ προσήκοντα, καὶ ὁ μέν τις εἰς τὸ πρυτανεῖον βαδίζει σιτησόμενος, ὁ δὲ πρὸς τοὺς δικαστὰς ἀπολογησόμενος, ὁ δὲ εἰς τὸ δεσμωτήριον ἀποθανούμενος. γίνονται δὲ καὶ δημοθοινίαι νόμιμοι καὶ πανηγύρεις ἐνιαύσιοι, θεῶν τε θυσίαι καὶ ἡρώων θεραπεῖαι καὶ χοαὶ κεκμηκότων. ἄλλα δὲ ἄλλοις ἐνεργούμενα κατὰ μίαν πρόσταξιν ἢ νόμιμον ἐξουσίαν, σῴζει τὸ τοῦ ποιητοῦ ὄντως·

Πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει,
ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων.

οὕτως ὑποληπτέον καὶ ἐπὶ τῆς μείζονος πόλεως, λέγω δὲ τοῦ κόσμου. νόμος μὲν γὰρ ἡμῖν ἰσοκλινὴς ὁ θεός, οὐδεμίαν ἐπιδεχόμενος διόρθωσιν ἢ μετάθεσιν, κρείττων δὲ οἶμαι καὶ βεβαιότερος τῶν ἐν κύρβεσιν ἀναγεγραμμένων. ἡγουμένου δὲ ἀκινήτως αὐτοῦ καὶ ἐμμελῶς, ἡ σύμπασα οἰκονομεῖται διακόσμησις οὐρανοῦ καὶ γῆς, μεμερισμένη κατὰ τὰς φύσεις πάσας διὰ τῶν οἰκείων σπερμάτων εἴς τε τὰ φυτὰ καὶ ζῷα, κατὰ γένη τε καὶ εἴδη. καὶ γὰρ ἄμπελοι καὶ φοίνικες καὶ περσέαι, συκέαι τε γλυκεραὶ καὶ ἐλαῖαι, ὥς φησιν ὁ ποιητής, τά τε ἄκαρπα μέν, ἄλλας δὲ παρεχόμενα χρείας, πλάτανοι καὶ πίτυες καὶ πύξοι

κλήθρη τ' αἴγειρός τε καὶ εὐώδης κυπάρισσος.

αἵ τε καρπὸν ὀπώρης ἡδὺν, ἀλλ' ἄλλως δυσθησαύριστον φέρουσαι,

ὄχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι.

τῶν τε ζῴων τά τε ἄγρια καὶ ἥμερα, τά τε ἐν ἀέρι καὶ ἐπὶ γῆς καὶ ἐν ὕδατι βοσκόμενα, γίνεται καὶ ἀκμάζει καὶ φθείρεται, τοῖς τοῦ θεοῦ πειθόμενα θεσμοῖς. πᾶν γὰρ ἑρπετὸν, τὴν γῆν νέμεται, ὥς φησιν Ἡράκλειτος. εἷς δὲ ὢν πολυώνυμός ἐστι, κατονομαζόμενος τοῖς πάθεσι πᾶσιν, ἅπερ αὐτὸς νεοχμοῖ. καλοῦμεν γὰρ αὐτὸν καὶ Ζῆνα καὶ Δία, παραλλήλως χρώμενοι τοῖς ὀνόμασιν, ὡς κἂν εἰ λέγοιμεν

ἄρχοντες
θεσμοθέται
βουλευταί
ἐκκλησιασταί
Prytaneō
δημοθοινίαι
χοαὶ κεκμηκότ
Sophocles
Cyrbes
Homer)
Heraclit
νεοχμοῖ niget. Al
ζῆν πόθεν
δῖος πόθεν

Saturni temporis q: appellatio ioui redditur.

δι' οὗ ζῶμεν. κρόνου δὲ καὶ χρόνου λέγεται, διήκων ἐξ αἰῶνος ἀτέρμονος εἰς ἕτερον αἰῶνα. ἀστραπαῖός τε καὶ βρονταῖος, καὶ αἴθριος καὶ αἰθέριος, κεραύνιός τε καὶ ὑέτιος, ἀπὸ τῶν ὑετῶν καὶ κεραυνῶν καὶ τῶν ἄλλων καλεῖται. καὶ μὴν ἐπικάρπιος μὲν ἀπὸ τῶν καρπῶν, πολιεὺς δὲ ἀπὸ τῶν πόλεων ὀνομάζεται, γενέθλιός τε καὶ ἑρκεῖος καὶ ὁμόγνιος καὶ πατρῷος, ἀπὸ τῆς πρὸς ταῦτα κοινωνίας. ἑταιρεῖός τε καὶ φίλιος καὶ ξένιος καὶ στράτιος, καὶ τροπαιοῦχος, καθάρσιός τε καὶ παλαμναῖος καὶ ἱκέσιος καὶ μειλίχιος, ὥσπερ οἱ ποιηταὶ λέγουσι. σωτήρ τε καὶ ἐλευθέριος ἐτύμως. ὡς δὲ τὸ πᾶν εἰπεῖν, οὐράνιός τε καὶ χθόνιος, πάσης ἐπώνυμος ὢν φύσεώς τε καὶ τύχης, ἅτε πάντων αὐτὸς αἴτιος ὤν. διὸ καὶ ἐν τοῖς ὀρφικοῖς οὐ κακῶς λέγεται ἀλέγει. οἶμαι δὲ καὶ τὴν ἀνάγκην οὐκ ἄλλο τι λέγεσθαι πλὴν τοῦτον, οἱονεὶ ἀκίνητον οὐσίαν ὄντα. εἱμαρμένην δέ, διὰ τὸ εἴρειν τε καὶ χωρεῖν ἀκωλύτως. πεπρωμένην δέ, διὰ τὸ πεπερατῶσθαι πάντα, καὶ μηδὲν ἐν τοῖς οὖσιν ἄπειρον εἶναι. καὶ μοῖραν μέν, ἀπὸ τοῦ μεμερίσθαι. νέμεσιν δέ, ἀπὸ τῆς ἑκάστῳ διανεμήσεως. ἀδράστειαν δέ, ἀναπόδραστον αἰτίαν οὖσαν κατὰ φύσιν. αἶσαν δέ, ἀεὶ οὖσαν. τά τε περὶ τὰς μοίρας καὶ τὸν ἄτρακτον, εἰς ταὐτό πως νεύει. τρεῖς μὲν γὰρ αἱ μοῖραι κατὰ τοὺς χρόνους μεμερισμέναι. νῆμα δὲ ἀτράκτου τὸ μὲν ἐξειργασμένον, τὸ δὲ μέλλον, τὸ δὲ περιστρεφόμενον. τέτακται δὲ κατὰ μὲν τὸ γεγονός, μία τῶν μοιρῶν ἄτροπος, ἐπεὶ τὰ παρελθόντα πάντα ἄτρεπτά ἐστι. κατὰ δὲ τὸ μέλλον λάχεσις, εἰς πάντα γὰρ ἡ κατὰ φύσιν μένει λῆξις. κατὰ δὲ τὸ ἐνεστώς, κλωθώ, συμπεραίνουσά τε καὶ κλώθουσα ἑκάστῳ τὰ οἰκεῖα. περαίνεται δὲ καὶ ὁ μῦθος οὐκ ἀτάκτως. ταῦτα δὲ πάντα ἐστὶν οὐκ ἄλλο τι πλὴν ὁ θεός, καθάπερ καὶ ὁ γενναῖος πλάτων φησίν. ὁ μὲν δὴ θεὸς ὥσπερ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων, εὐθείᾳ περαίνει κατὰ φύσιν περιπορευόμενος. τῷ δὲ ἀεὶ ξυνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός, ἧς ὁ εὐδαιμονήσειν μέλλων, μακάριός τε καὶ εὐδαίμων ἐξ ἀρχῆς εὐθὺς μέτοχος εἴη.

ἀστραπαῖος
αἴθριος
βρονταῖος
αἰθέριος
κεραύνιος
ὑέτιος
ἐπικάρπιος
πολιεύς
γενέθλιος
ἑρκεῖος
ὁμόγνιος
πατρῷος
ἑταιρεῖος
φίλιος
ξένιος
στράτιος
τροπαιοῦχος
καθάρσιος
παλαμναῖος
ἱκέσιος
μειλίχιος
σωτήρ
ἐλευθέριος
οὐράνιος
χθόνιος
ἀνάγκη
εἱμαρμένη
πεπρωμένη
μοῖρα
νέμεσις
ἀδράστεια
αἶσα

Θεός
Orpheus
Plato

De Parcis notandum



ΦΙΛΩΝΟΣ ΠΕΡΙ ΚΟΣΜΟΥ.

Οὐδὲν τῶν ὄντων ἰσότιμον ὑφέστηκε θεῷ· ἀλλ' ἔστιν εἷς ἄρχων καὶ ἡγεμὼν καὶ βασιλεύς, ᾧ πρυτανεύειν καὶ διοικεῖν μόνῳ θέμις τὰ σύμπαντα. τὸ γὰρ Οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω, εἷς βασιλεύς, οὐκ ἐπὶ πόλεων καὶ ἀνθρώπων λέγοιτ' ἂν ἐν δίκῃ μᾶλλον ἢ ἐπὶ κόσμου καὶ θεοῦ. ἑνὸς γὰρ ἕνα ποιητήν τε καὶ δεσπότην ἀναγκαῖον εἶναι. τούτου δὴ προομολογηθέντος, ἀκόλουθον ἂν εἴη συνυφαίνειν τὰ ἁρμόζοντα. τίνα οὖν ἐστι σκοπῶμεν. εἷς ὢν ὁ θεός, δύο τὰς ἀνωτάτω δυνάμεις ἔχει. διὰ τούτων τῶν δυνάμεων, ὁ ἀσώματος καὶ νοητὸς ἐπάγη κόσμος, τὸ τοῦ φαινομένου τοῦδε ἀρχέτυπον, ἰδέαις ἀοράτοις συσταθείς, ὥσπερ οὗτος ὄμμασιν ὁρατός. καταπλαγέντες οὖν τινες τὴν ἑκατέρου τοῦ κόσμου φύσιν, οὐ μόνον ὅλους ἐξεθείωσαν, ἀλλὰ καὶ τὰ κάλλιστα τῶν ἐν αὐτοῖς μερῶν, ἥλιον λέγω καὶ σελήνην, καὶ τὸν σύμπαντα οὐρανόν. ἅπερ οὐδὲν αἰδεσθέντες θεοὺς ἐκάλεσαν. ὧν τὴν ἐπίνοιαν κατιδὼν Μωϋσῆς φησί· κύριε κύριε βασιλεῦ τῶν θεῶν, εἰς ἔνδειξιν τῆς τοῦ ἄρχοντος πρὸς ὑπηκόους ἄρχοντας διαφορᾶς. καὶ ὁ τοῦ ἰουδαίων ἔθνους πρεσβύτατος, γένει μὲν ἦν χαλδαῖος, πρὸς δὲ ἀστρονομικοῦ τῶν περὶ τὰ μαθήματα διατριβόντων, οἳ τοὺς ἀστέρας θεοὺς νομίζουσι, καὶ τὸν σύμπαντα οὐρανόν τε καὶ κόσμον· παρ' οὓς τὸ τέλος καὶ τὸ χεῖρόν φασιν ἀπῃωρημένον, οὐδὲν ἔξω τῶν αἰσθητῶν αἴτιον ὑπολαμβάνοντες εἶναι. τούτου δέ, τί ἂν εἴη χαλεπώτερον, ἢ μᾶλλον ἀπελέγξαι τὴν ἐν τῇ ψυχῇ δυσγένειαν δυνάμενον, διὰ τῆς ἐπιστήμης τῶν πολλῶν καὶ δευτέρων καὶ γενητῶν, εἰς ἀνεπιστημοσύνην ἴσως τοῦ ἑνὸς καὶ πρεσβυτάτου, καὶ ἀγενήτου καὶ ποιητοῦ τῶν ὅλων, καὶ διά τε ταῦτα ἀρίστου, καὶ μυρία ἄλλα, ἃ διὰ μέγεθος ἀνθρώπου λογισμὸς οὐ χωρεῖ. ὃν ἐν νῷ λαβὼν καὶ ἐπιθειάσας, καταλείπει μὲν τήν τε γενεὰν καὶ πατρῷον οἶ-

Nil æquale deo
Homerus
Moyses
Abraamus

κον, εἰδὼς ὅτι μεμηνύονται μὲν αἱ τῆς πολυθέου δόξης εἰσκαταμεμήνυσαι
ἀπάται, ἐν οἷς ἀμήνυτον κατασκευάζουσιν εἰς τὸ ποιεῖν ὑφήγησιν·
ὅσ᾽ οὐδὲν ἀίδιον μόνον, ἀλλὰ τῶν ἄλλων ἐπὶ νοητῶν τε καὶ αἰσθητῶν. εἰ δὲ μετανα-
σταίη, μετανάστηναί τε καὶ τῆς διανοίας τὸ ἀπόστολον μεθ᾽ ἧς μονάδα μόνου
τὴν ψευδῆ δόξαν, εἰς ἀλήθειαν· ἅμα δὲ καὶ τὸν πρόθυμον ἐπόθει γνώμαις τὸ ὂν
προσανερρίπισε λόγια, τὰ χρησθέντα· ὃς ποδηγετούμενος ἐπὶ τὴν
τοῦ ἐνὸς ἀοκνωτάτην ὁδὸν καὶ ζήτησιν, ἦλθε καὶ πρὸς τὸ ἀνύειν, ἢ
ξανωτέρας λαβεῖν φαντασίας οὐχὶ τῆς οὐσίας· τοῦτο γὰρ ἀμήχανον· ἀλλὰ
τῆς ὑπάρξεως αὐτοῦ καὶ τῆς προνοίας. διὸ καὶ πιστεῦσαι λέγεται τῷ θεῷ πρῶ-
τος. ἐπειδὴ καὶ πρῶτος ἀκριβῆ καὶ βεβαίαν ἔσχεν ὑπόληψιν, ὡς ἔστιν
ἓν αἴτιον ἀνωτάτω τὸ προνοοῦν τοῦ τε κόσμου καὶ τῶν ἐν αὐτῷ. ἐπει-
δὴ γὰρ τὴν οὐσίαν ἄτακτον συγκεχυμένην οὖσαν εἰς τάξιν ἐξ ἀτα-
ξίας, καὶ ἐκ συγχύσεως εἰς διάκρισιν ἄγων ὁ κοσμοπλάστης, κοσμεῖν ἤρξα-
το, γῆν μὲν καὶ ὕδωρ, ἐπὶ τὸ μέσον ἐρρίζου· τὰ δ᾽ ἀέρος καὶ πυρὸς δέν-
δρα, πρὸς τὴν μετάρσιον ἀνεῖλκεν ἀπὸ τοῦ μέσου χώραν· τὸν δὲ αἰθέριον ἐν
κύκλῳ τόπον ὠχύρου τῶν ἐντὸς ὅρον τε καὶ φυλακτήριον αὐτὸν τι-
θείς. ἀφ᾽ οὗ καὶ οὐρανὸν ὠνομάσθαι δοκεῖ. καὶ ταύτην μὲν τὰ τέλεια ὑπὲρ
τῶν ἐν μοχλώματα. τὸ δὲ παμμέγεθες καὶ παμφορώτατον ἔρνος·
ὁ κόσμος οὗτος, οὗ παραφυάδες οἱ εἰρημένοι βλαστοί. ὁ φυτουργὸς οὐρανό-
θεν τὰς ῥίζας καθῆκε, καὶ τίς ἐστιν αὐτῷ βάσις ἐφ᾽ ἧς ὥσπερ ἀν-
δριὰς ἐρήρεισται σκεπτέον. σῶμα μὲν οὐδὲν ἀπολειφθὲν ἐκτὸς ἔξω πλα-
νᾶσθαι, τὴν γὰρ ὅλην ὕλην ἐργασάμενος καὶ διακοσμήσας ὁ θεός. τελειότατον
γὰρ ἥρμοττε τὸ μέγιστον τῶν ἔργων, τῷ μεγίστῳ δημιουργῷ διαπλάσασθαι·
τελειότατον δ᾽ οὐκ ἂν ἦν, εἰ μὴ τελείοις συνεπληροῦτο μέρεσιν· ὥσ-
τε ἐκ τῆς ἁπάσης ὕλης μηδὲν ἔξω μηδὲ τῆς βραχυτάτης καταλει-
φθείσης συνέστηκεν ὁ κόσμος. ἀνάγκη τοίνυν ἐκτὸς, ἢ κενὸν ἢ μηδὲν
εἶναι. εἰ μὲν δὴ κενὸν, πῶς τὸν πλήρη καὶ ναστὸν καὶ τῶν ὄντων βριθύτατον οὐκ ἠρέθη
ταλαντεῦον, στερεοῦ μηδενὸς ἐπερείδοντος. οὐ γὰρ φάσματι γὰρ ἐοικέναι
δόξαι· ζητούσης ἀεὶ τῆς διανοίας βάσιν σωματικὴν πάντ᾽ ἔχειν εἰκὸς, ἐ-
ναγκιζομένη τυγχάνει. τὸ μὲν οὖν δὴ κόσμου διαφερόντως, ὅτι τὸ μέγι-
στον σωμάτων ἐστὶ καὶ πλῆθος ἄλλων σωμάτων ὡς οἰκεῖα ἐγκεκόλπισται

προσανερρίπισε λόγια

ποδηγετούμενος

φυλακτήριον

μοχλεύματι

ἔρνος

παραφυάδες

Necesse esse extramundum uel nihil uel uacuum esse



μέρη πρὸς δυσωπίας εἶναι εἴ τις ἀποδιδράσκειν βούλοιτο τὰς ἐν τοῖς δια-
φορηθεῖσι, λεγέτω μετὰ παρρησίας, ὅτι οὐδὲν τῆς ὕλης κραταιὸν οὕτως, ὡς τὸν
κόσμον ἀχθοφορεῖν ἰσχύσαι· νόμος δὲ ὁ ἀίδιος θεοῦ αἰωνίου, τὸ ὀχυρώτατον καὶ
βεβαιότατον ἔρεισμα τῶν ὅλων ἐστίν. οὗτος ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα, καὶ ἀ-
πὸ τῶν ἄκρων ἐπὶ τὰ μέσα ταθείς, δολιχεύει τὸν τῆς φύσεως δρόμον ἀήττη-
τον· συνάγων πάντα τὰ μέρη καὶ σφίγγων. δεσμὸν γὰρ ἄρρηκτον αὐτὸν τοῦ παντὸς
ὁ γεννήσας ἐποίει πατήρ. εἰκότως οὖν, οὔτε γῆ πᾶσα διαλυθήσεται πρὸς ὕ-
δατος ὅσοι περ αὐτῆς οἱ κόλποι κεχωρήκασιν, οὔτε δ᾽ ὑπ᾽ ἀέρος σβεσθήσεται
πῦρ. οὐδ᾽ ἔμπαλιν ὑπὸ πυρὸς ἀὴρ ἀναφλεχθήσεται· τοῦ θείου νόμου με-
θόριον τάττοντος αὐτόν. οὕτω μὲν δὴ τὸ παμφορώτατον φυτὸν ἐρ-
ριζοῦτο, καὶ ῥιζωθὲν ἐκρατεῖτο. τῶν δὲ ἐν μέρει καὶ βραχυτέρων φυτῶν, τὰ
μὲν μεταβατικῆς κινήσεως, τὰ δὲ ἀμοιροῦντα μεταβάσεως, ὡς ἂν ἑστῶτα κατὰ
τὸν αὐτὸν τόπον ἐδημιουργεῖτο. τὰ μὲν οὖν μεταβατικῇ κινήσει χρώμενα,
ἃ δὴ φαμὲν ἡμεῖς ζῷα εἶναι, τοῦ παντὸς ὁλοσχερεστέραις προσένειμε
μοίραις· γῇ μὲν τὰ χερσαῖα, πλωτὰ δὲ τῷ ὕδατι, τὰ πτηνὰ δ᾽ ἀέρι,
τοὺς ἀστέρας δ᾽ ἐν οὐρανῷ. ἀλλὰ δὲ ἐν γῇ καὶ ὕδατι καὶ ἀέρι γένη, ὅτι περ ἐ-
στὶ ἀέρι μὲν τὰ πτηνά· καὶ δυνάμεις ἄγας αἰσθήσει οὐδαμῶς οὐδαμῶς
καταλαμβανομένας. ψυχῶν θίασος οὗτος ἀσωμάτων ἐστί, διακε-
κοσμημένος οὔσαις αὐτοῦ ἐν τάξεσι. τὰς μὲν γὰρ εἰσκρίνεσθαι, λόγος ἔχει σώμα-
σι θνητοῖς, καὶ κατά τινας ὡρισμένας περιόδους ἀπαλλάττεσθαι πά-
λιν. τὰς δὲ θειοτέρας κατασκευῆς λαχούσας, ἁπάντων ἀλογεῖν τῶν περιγείων χωρίων·
ἀνωτάτω δ᾽ εἶναι πρὸς αὐτῷ τῷ αἰθέρι τὰς καθαρωτάτας. ἃς οἱ
μὲν παρ᾽ Ἕλλησι φιλοσοφήσαντες, ἥρωας καλοῦσι καὶ δαίμονας. Μωϋσῆς
δὲ εὐθυβόλῳ χρώμενος ὀνόματι, ἀγγέλους προσαγορεύει· πρεσβευομένας καὶ
διαγγελλούσας τά τε παρὰ τοῦ ἡγεμόνος τοῖς ὑπηκόοις ἀγαθά, καὶ
τῷ βασιλεῖ ὧν εἰσιν ὑπήκοοι χρεῖοι. ἐκείνων δὲ ὥσπερ εἰς ποταμὸν τὸ σῶ-
μα καταβεβηκυῖαι, ποτὲ μὲν ὑπὸ συρμοῦ δίνης βιαιοτάτης ἁρπα-
σθεῖσαι κατεπόθησαν. ποτὲ δὲ πρὸς τὴν φορὰν ἀντισχεῖν δυνηθεῖσαι,
τὸ μὲν πρῶτον ἀνενήξαντο. εἶτα ὅθεν ὡρμήθησαν, ἐκεῖσε πάλιν ἀνέπτη-
σαν. αὗται μὲν οὖν εἰσι ψυχαὶ τῶν ἄνωθεν γνησίως φιλοσοφούντων ἐξ ἀρχῆς ἄχρι

δυσωπεῖ

δολιχεύει τὸν δρόμον

θίασος

Heroes

Demones

Angeli

Moyses

εὐθυβόλῳ

τέλους μελετῶσαι τὸν μετὰ σωμάτων ἀποθνήσκειν βίον· ἵνα τῆς ἀσωμάτου καὶ ἀφθάρτου παρὰ τῷ ἀγενήτῳ καὶ ἀφθάρτῳ ζωῆς μεταλάχωσιν. αἱ δὲ καταποθεῖσαι τῶν ἄλλων ἀνθρώπων ὅσοι σοφίας ἠλόγησαν ἐκδόντες ἀστάτοις καὶ τύχης πράγμασιν ἑαυτούς· ὧν οὐδὲν εἰς ψυχὴν ἢ νοῦν ἀναφέρεται· πάντα δὲ ἐπὶ τὸν σύμφυα νεκρὸν ἡμῶν τὸ σῶμα, ἢ ἐπὶ τὰ ἀψυχότερα τούτου· δόξας λέγω καὶ χρήματα, καὶ ἀρχὰς καὶ τιμάς· καὶ ὅσα ἄλλα ὑπὸ τῶν μὴ τεθεαμένων τὰ πρὸς ἀλήθειαν καλά, ἀπάτῃ ψευδοῦς δόξης ἀναπλάττεται ἢ ζωγραφεῖται· ψυχὰς οὖν καὶ δαίμονας καὶ ἀγγέλους, ὀνόματα μὲν διαφέροντα· ἓν δὲ καὶ ταὐτὸν ὑποκείμενον διανοηθείς, ἄχθος βαρύτατον ἀποθήσεις δεισιδαιμονίαν· ὥσπερ γὰρ ἀγαθοὺς δαίμονας καὶ κακοὺς λέγουσιν οἱ πολλοί, καὶ ψυχὰς ὁμοίως, οὕτω καὶ ἀγγέλους τοὺς μὲν τῆς προσρήσεως ἀξίους πρεσβευτάς τινας ἀνθρώπων πρὸς θεόν, καὶ θεοῦ πρὸς ἀνθρώπους ἱεροὺς καὶ ἀσύλους φύλακας διὰ τὴν ἀνυπαίτιον καὶ παγκάλην ταύτην ὑπηρεσίαν· τοὺς δὲ ἔμπαλιν ἀνιέρους καὶ ἀναξίους τῆς προσρήσεως καὶ αὐτὸς ὑπολαμβάνων, οὐχ ἁμαρτήσεις· μαρτυρεῖ δέ μου τῷ λόγῳ, ὁ ὑμνογράφος οὑτωσὶ λέγων· ἐξαπέστειλεν εἰς αὐτούς, ὀργὴν θυμοῦ αὐτοῦ δι᾽ ἀγγέλων πονηρῶν· ὕδατι δὲ ζῷα πλωτὰ καὶ ζωόφυτα, τῇ γῇ δ᾽ αὖ, ζῷά τε χερσαῖα καὶ φυτά· καὶ τὰ μὲν φυτά, κατωκάρα εἰργάσατο τὰς κεφαλὰς αὐτῶν τοῖς βαθυτάτοις τῆς γῆς μέρεσι πήξας· ζῴων δὲ τῶν ἀλόγων τὰς κεφαλὰς ἀνελκύσας ἀπὸ γῆς ἐπὶ προμήκους αὐχένος ἀκρῶν ἡρμόζετο τῷ αὐχένι· ὥσπερ ἐπιβάσεις τοὺς ἐμπροσθίους πόδας θείς· ἐξαιρέτου δὲ τῆς κατασκευῆς ἔλαχεν ἄνθρωπος· τῶν μὲν γὰρ ἄλλων τὰς ὄψεις, περιήγαγε κάτω κύψας· διὸ νένευκε πρὸς χέρσον· ἀνθρώπου δὲ ἔμπαλιν ἀνώρθωσεν· ἵνα τὸν οὐρανὸν καταθεᾶται· φυτὸν οὐκ ἐπίγειον, ἀλλ᾽ οὐράνιον ὡς ὁ παλαιὸς λόγος· ἀλλ᾽ οἱ μὲν ἄλλοι, τῆς αἰθερίου φύσεως τὸν ἡμέτερον νοῦν μοῖραν εἰπόντες εἶναι, συγγένειαν ἀνθρώπῳ πρὸς αἰθέρα συνῆψαν· ὁ δὲ δὴ μέγας Μωυσῆς οὐδενὶ τῶν γεγονότων τῆς λογικῆς ψυχῆς τὸ εἶδος ὁμοίω ὠνόμασεν· ἀλλ᾽ εἶπεν αὐτὴν τοῦ θείου καὶ ἀοράτου θεοῦ ἐκείνου εἰκόνα· δόκιμον εἶναι νομίσας ἧς εἴωθε καὶ τυπωθὲν σφραγῖδι θεοῦ· ἧς ὁ χαρακτήρ ἐστιν, ὁ ἀΐδιος λόγος· ἐνέπνευσε γάρ φησιν ὁ θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ, πνοὴν ζωῆς, ὥστε

Animæ
Dæmones
Angeli
Dæmones boni & mali
Angeli boni & mali
David
Angelos malos auctoritate psalmographi probat
Hymnographos
φυτὸν οὐκ ἐπίγειον ἀλλ᾽ οὐράνιον ὡς ὁ παλαιὸς λόγος ὁ ἄνθρωπος



ἀνάγκη πρὸς τὸν ἐκπέμποντα τὸν δεχόμενον ἀπεικονίζεσθαι· διὸ καὶ τὸν ἄνθρωπον, κατ᾽ εἰκόνα φασὶ θεοῦ γεγενῆσθαι· οὐ μὴν κατ᾽ εἰκόνα τινὸς τῶν γεγονότων· ἀλλ᾽ ἐπαναλαβόντες τὸν λόγον σαφηνείας χάριν εἴπωμεν· ὅτι τῶν σωμάτων, τὰ μὲν ἐνεδύσατο ἕξιν· τὰ δέ, φύσιν· τὰ δὲ ψυχήν· τὰ δέ, λογικὴν ψυχήν· λίθων μὲν οὖν καὶ ξύλων ἃ δὴ τῆς συμφυΐας ἀπέσπασται, δεσμὸν κραταιότατον, ἕξιν εἰργάσατο· ἡ δέ ἐστι, πνεῦμα ἀναστρέφον ἐφ᾽ ἑαυτό· ἄρχεται μὲν γάρ, ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα τείνεσθαι· ψαῦσαν δὲ ἄκρας ἐπιφανείας, ἀνακάμπτει πάλιν ἄχρις ἂν ἐπὶ τὸν αὐτὸν ἀφίκηται τόπον, ἀφ᾽ οὗ τὸ πρῶτον ὡρμήθη· ἕξεως ὁ συνεχὴς οὗτος δίαυλος· τὴν δὲ φύσιν ἀπένειμε τοῖς φυτοῖς· κρασάμενος αὐτὴν ἐκ πλείστων δυνάμεων· θρεπτικῆς τε, καὶ γεννητικῆς. ψυχὴ δὲ φύσεως ἐστὶ διαλλάττουσα ὅτι ἐποίει· αἰσθήσει· φαντασίᾳ· ὁρμῇ· τὰ μὲν δὴ φυτά, τούτων ἀμέτοχα· τῶν δὲ ζῴων ἕκαστον, ἀθρόων μετέχει τῶν εἰρημένων· αἴσθησις μὲν οὖν ὡς αὐτὸ δήπου δηλοῖ τὸ ὄνομα, εἴσθεσίς τις οὖσα, τὰ φανέντα ἐπεισφέρει τῷ νῷ· φαντασία δὲ, τύπωσις ἐν ψυχῇ· οἷον εἰ φαοστασία τις οὖσα· ἃ γὰρ εἰσήγαγεν ἑκάστη τῶν αἰσθήσεων ὥσπερ δακτύλιός τις ἢ σφραγὶς ἐναπεμάξατο τὸν οἰκεῖον χαρακτῆρα· ἢ τὸ ἐκμαγεῖον φυλάττει παρ᾽ ἑαυτῇ· μέχρις ἂν ἡ ἀντίπαλος τῇ μνήμῃ, τὸν τύπον λεάνασα λήθη, ἀμυδρὸν ἐργάσηται, ἢ παντελῶς ἀφανίσῃ· τὸ δὲ φανὲν καὶ τυπῶσαν, τοτὲ μὲν, οἰκείως· τοτὲ δέ, ὡς ἑτέρως διέθηκε τὴν ψυχήν· τοῦτο δὲ αὐτῆς τὸ πάθος, ὁρμὴ καλεῖται· ἣν ὁριζόμενοι, πρώτην ἔφασαν ψυχῆς κίνησιν· τοσούτοις μὲν ζῷα ὑπερέχει φυτῶν· ἴδωμεν τοίνυν τίνι τῶν ἄλλων ζῴων ὑπερβέβηκεν ἄνθρωπος· οὗτος δή, ἐξαίρετον, γέρας ἔλαχε διάνοιαν· ἣ τὰς ἁπάντων φύσεις σωμάτων τε καὶ πραγμάτων, εἴωθε καταλαμβάνειν· καθάπερ γὰρ ἐν μὲν τῷ σώματι τὸ ἡγεμονικώτατον ὄψις ἐστίν· ἐν δὲ τῷ παντὶ ἡ τοῦ φωτὸς φύσις· τὸν αὐτὸν τρόπον καὶ τῶν ἐν ἡμῖν τὸ κρατιστεῦον, ὁ νοῦς· ψυχῆς γὰρ ὄψις οὗτος, ταῖς οἰκείαις περιλαμπόμενος αὐγαῖς· δι᾽ ὧν ὁ πολὺς καὶ βαθὺς ζόφος ὃν κατέχεεν ἄγνοια τῶν πραγμάτων ἀνασκίδναται· τοῦτο γὰρ τῆς ψυχῆς τὸ εἶδος οὐκ ἐκ τῶν αὐτῶν στοιχείων ἐξ ὧν τὰ ἄλλα ἀπετελεῖτο διεπλάσθη· καθαρωτέρας δὲ καὶ ἀμείνονος ἔλαχε τῆς οὐσίας ἐξ ἧς αἱ θεῖαι φύσεις

ἀπεικονίζεσθαι
δίαυλος
Plantarũ natura uitã habet uegetatiuã
Animæ potentiæ
Sensus
Phantasia
Appetitus
αἴσθησις unde dr̃
φαντασία unde dr̃
ἐκμαγεῖον
ὁρμὴ quomodo diff.
Intellectus humani dignitas

ἐδημιούργει τό τε παρ' ὃ καὶ μόνην τῶν ἐν ἡμῖν, εἰκότως ἄφθαρτον ἔδοξεν εἶναι διάνοια. μόνην γὰρ αὐτὴν ὁ γεννήσας πατὴρ, ἐλευθερίας ἠξίωσε, καὶ τὰ τῆς ἀνάγκης ἀνεὶς δεσμὰ, ἄφετον εἴασε, δωρησάμενος αὐτῇ τοῦ πρεπωδεστάτου καὶ οἰκειοτάτου κτήματος αὐτοῦ, τοῦ ἑκουσίου μοῖραν, ἣν ἠδύνατο δέξασθαι. τὰ μὲν γὰρ ἄλλα ζῶα ὧν ἐν τῇ ψυχῇ ἐξαιρουμένης εἰς ἐλευθερίαν διανοίας οὐκ ἔστι, καταζευχθέντα καὶ χαλινωθέντα πρὸς ὑπηρεσίαν ἀνθρώποις παραδέδοται ὥσπερ οἰκέται δεσπόταις. ὁ δ' ἄνθρωπος ἐθελουργοῦ καὶ αὐτοκελεύστου γνώμης λαχὼν, καὶ προαιρετικαῖς χρώμενος τὰ πολλὰ ἐνεργείαις, εἰκότως ψόγον μὲν ἔχει ἐφ' οἷς ἐκ προνοίας ἀδικεῖ, ἔπαινον δὲ ἐφ' οἷς ἑκὼν κατορθοῖ. παρὰ δὲ θεοῦ τὸ ἑκούσιον κίνημα εἰληφὼς, καὶ κατὰ τοῦτο ὁμοιωθεὶς αὐτῷ, χαλεπωτάτης καὶ ἀργαλεωτάτης δεσποίνης τῆς ἀνάγκης ἐλευθερωθεὶς, κατηγορίας δεόντως τυγχάνει ὅτι τὸν ἐλευθερώσαντα οὐ περιέπει. τοιγάρτοι κατὰ τῶν ἐλευθέρων ἀχαρίστων ἀπαραίτητον δίκην ὀρθότατα ἀποτίσει. τούτοις καὶ τὸ σῶμα ἀνεγερθὲν πρὸς τὴν καθαρωτάτην τοῦ παντὸς μοῖραν οὐρανὸν τὰς ὄψεις ἀνέτεινεν, ἵνα τῷ φανερῷ τὸ ἀφανὲς ἐκ δήλου καταλαμβάνηται. ἐπειδὴ τοίνυν τῆς πρὸς τὸ ὂν διανοίας ὁλκὴν ἀμήχανον ἦν ἰδεῖν, ὅτι μηδὲ τοὺς ἀχθέντας πρὸς αὐτὸν μόνος, ὃ γὰρ ἀπέρινθεν ἕκαστος αὐτὸς ἐξαιρέτως οἶδεν, εἴδωλον ἐνεστὲς ἀειδοῦς ὄμματος, τὰ τοῦ σώματος τριέδισω ἅμα πρὸς αἰθέρα ἀπονεύει. ὁπότε γὰρ οἱ ἐκ φθαρτῆς παγέντες ὕλης ὀφθαλμοὶ τοσοῦτον ἐπέβησαν, ὡς ἀπὸ τοῦ τῆς γῆς χωρίου πρὸς τὸν μακρὰν οὕτως ἀφεστῶτα ἀνατρέχειν οὐρανὸν, καὶ ψαύειν τῶν περάτων αὐτοῦ, πόσον τι μάλα χρὴ νομίσαι τὸν δρόμον τῶν τῆς ψυχῆς ὀμμάτων. ἅπερ ὑπὸ τοῦ μάλιστα τοῦ ὄντος ἐν καταιδεῖ τηλαυγεστέροις μέρεσιν ἐπτερωθέντα οὐ μόνον πρὸς τὸν ἔχαρον αἰθέρα τείνεται. ἀλλὰ κάτω πυλιπὼν πάντα τὸν τοῦ κόσμου τοῦ ὁρατοῦ ὅρον ἐπείγεται πρὸς τὸν ἀγένητον. διεξελθόντι τοίνυν περὶ τῆς ὁλοσχερεστέρας κόσμου φύσεως, ἴδωμεν ὃν τρόπον καὶ τὰ ἐν τῷ ἀνθρώπῳ, τῷ βραχεῖ κόσμῳ, διὰ τὸ ὁ πάνσοφος ἐδημιούργει θεός. αὐτίκα τοίνυν ὡς πρὸς βαθύτερον χωρίον σῶμα τὸ ἡμέτερον λαβὼν, δεξαμενὰς αὐτῷ τῶν αἰσθήσεων ἀπειργάζετο. καὶ ἐπειδὴ οἷα φυτὸν ἡμῶν ἦν ὠφελιμώτατον, ἑκάστῳ αὐτῶν ἐπετίθει. ἀκοὰς μὲν, εἰς ὦτα. ὄψιν δ' εἰς ὄμματα, καὶ εἰς μυκτῆρας ὄσφρησιν. καὶ τὰς

ἐθελουργοῦ αὐτοκελεύστου

περιέπει



ἄλλας, εἰς τὰ οἰκεῖα καὶ συγγενῆ χωρία. μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ θεσπέσιος ἀνὴρ, ἐν ὕμνοις λέγων ὧδε. ὁ φυτεύσας τὸ οὖς οὐκ ἀκούει; ὁ πλάσας τὸν ὀφθαλμὸν οὐκ ἐπιβλέπει; καὶ τὰς λοιπὰς δὲ μέντοι μέχρι σκελῶν τε καὶ χειρῶν, καὶ τῶν ἄλλων τοῦ σώματος μερῶν, ὅσα ἐν τούτοις τε καὶ ἐκτὸς δυνάμεις ἁπάσας ὑπὸ γεννήμασι χρήματα εἶναι συμβέβηκε. τὰ δ' ἀμείνω καὶ τελειότερα τῷ μεσαιτάτῳ καὶ καρποφορεῖν δυναμένῳ διαφερόντως ἡγεμόνι προσερίζου. ταῦτα δέ ἐστι, νόησις· κατάληψις· εὐστοχία· μελέται· μνῆμαι· ἕξεις· διαθέσεις· τέχναι· ἰδέαι τε πολύτροποι· βεβαιότης ἐπιστήμης· τῆς ἀρετῆς καὶ ἁπάσης θεωρημάτων, ἀληθοῦς ἀνάληψις. τούτων οὐδὲν οὐδεὶς καθ' αὑτὸν φυτουργῆσαι. πάντων δ' ἀθρόον, εἰ ὁ ἀγένητος τεχνίτης οὐ πεποιηκὼς μόνον ἀλλὰ καὶ ποιῶν, καθέκαστον τῶν γινομένων τὰ φυτὰ ταῦτα. τοῖς εἰρημένοις ἐστὶν ἀκόλουθον, καὶ ἡ τοῦ παραδείσου φυτουργία. λέγει γάρ, ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς. καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασε. τὸν μὲν οὖν ἀμπέλων, καὶ ἐλαιῶν, ἢ μηλεῶν ἢ ῥοιῶν, ἢ τῶν παραπλησίων δένδρων οἰέσθω πολλὴ καὶ δυσθεράπευτος ἡ ἀλήθεια. ἀλλ' ὅπως μηδεὶς ὑπολάβῃ τὸν ποιητὴν χρεῖον εἶναι τινὸς τῶν γεγονότων, ἀναγκαῖον ἐπιβοῆσαι Μωυσῆς λέγει. κύριος βασιλεύει τὸν αἰῶνα, καὶ ἐπ' αἰῶνα καὶ ἔτι. ὁ γὰρ δὴ θεὸς καὶ πατὴρ καὶ τεχνίτης καὶ ἐπίτροπος τῶν ἐν οὐρανῷ τε καὶ κόσμῳ, πρὸς ἀλήθειάν ἐστι. καὶ μέλλοντα συσκιάζεται ὑπὸ τοῦ αὖθις χρόνου τοτὲ μὲν βραχέος, τοτὲ δὲ μακροῦ διαστήματι. δημιουργὸς δὲ καὶ χρόνου ὁ θεός. καὶ γὰρ τοῦ πατὴρ αὐτοῦ, πατὴρ δὲ ὁ κόσμος, χρόνου. τὴν αὐτοῦ κίνησιν, γένεσιν ἀποφήνας ἐκείνου. ὥστε οὐδὲν παρὰ θεῷ μέλλον τῷ καὶ τὰ τοῦ χρόνου ὑπηγμένῳ πέρατα. καὶ γὰρ οὐ χρόνος, ἀλλὰ τὸ ἀρχέτυπον τοῦ χρόνου καὶ παράδειγμα ἐν αἰῶνι δὲ, οὔτε παρελήλυθεν οὐδὲν, οὔτε μέλλει, ἀλλὰ μόνον ὑφέστηκεν. ἱκανῶς δ' οὖν διαλεχθέντος περὶ τούτων, σκεπτέον ἤδη καὶ περὶ ἀφθαρσίας αὐτοῦ. Τριτταὶ τοίνυν δόξαι παρὰ τοῖς φιλοσόφοις περὶ τούτου γεγόνασι. τῶν μὲν, ἀΐδιον φαμένων, ἀγένητόν τε καὶ ἀνώλεθρον. τῶν δ', ἐξ ἐναντίας γενητόν τε καὶ φθαρτόν. εἰσὶ δ' οἱ παρ' ἑκατέρων ἐκλαβόντες, τὸ μὲν γενητὸν, ἀπὸ τῶν ὑστέρων. παρὰ δὲ τῶν προτέρων τὸ ἄφθαρτον, μικτὴν δόξαν ἀπέλιπον. γενητὸν καὶ ἄφθαρτον οἰηθέντες.

Hymni david quos nunc uocant psalmos

David

Paradisi plantatio

Moyses

De mundo an genitus an ingenitus tres opiniones philosophorum

Democritus / Epicurus / Stoici / Mundorum multitudo

αὐτὸν εἶναι. Δημόκριτος μὲν οὖν καὶ Ἐπίκουρος καὶ ὁ πολὺς ὅμιλος τῶν ἀπὸ τῆς στοᾶς φιλοσόφων, γένεσιν καὶ φθορὰν ἀπολείπουσι τοῦ κόσμου· πλὴν οὐχ ὁμοίως· οἱ μὲν γὰρ πολλοὺς κόσμους ὑπογράφουσιν· ὧν τὴν γένεσιν ἀλληλοτυπίαις καὶ ἐπιπλοκαῖς ἀτόμων ἀνατιθέασι· τὴν δὲ φθορὰν, ἀντικοπαῖς καὶ προσράξεσι τῶν γεγονότων. οἱ δὲ στωϊκοὶ, κόσμον μὲν ἕνα, γενέσεως δ' αὐτοῦ, τὸν θεὸν αἴτιον· φθορᾶς δὲ, μηκέτι θεόν· ἀλλὰ τὴν ὑπάρχουσαν ἐν τοῖς οὖσι πυρὸς ἀκαμάτου δύναμιν χρόνων μακραῖς περιόδοις ἀναλύουσαν τὰ πάντα εἰς ἑαυτήν· ἐξ ἧς πάλιν, ἀναγέννησιν κόσμου συνίστασθαι προμηθείᾳ τοῦ τεχνίτου.

Aristoteles

Ἀριστοτέλης δὲ, ἀγένητον καὶ ἄφθαρτον ἔφη τὸν κόσμον εἶναι· δεινὴν δὲ ἀθεότητα κατεγίνωσκε τῶν τἀναντία διεξιόντων, οἳ τῶν χειροκμήτων οὐδὲν ᾠήθησαν διαφέρειν τὸ τοσοῦτον ἔργον θεοῦ. γενητὸν δὲ καὶ ἄφθαρτον φασὶν ὑπὸ

Platon

Πλάτωνος ἐν Τιμαίῳ δηλοῦσθαι. τινὲς δὲ οἴονται σοφιζόμενοι, κατὰ Πλάτωνα ἀγένητον λέγεσθαι τὸν κόσμον, οὐ τῷ λαβεῖν γενέσεως ἀρχὴν, ἀλλὰ τῷ εἴπερ ἐγίνετο, μὴ ἂν ἑτέρως ἢ τὸν εἰρημένον συστῆναι τρόπον· ἢ διὰ τὸ ἐν γενέσει καὶ μεταβολῇ τὰ μέρη θεωρεῖσθαι. βέλτιον δὲ καὶ ἀληθέστερον ὑπονοεῖν τὸ πρότερον· οὐ μόνον ὅτι διὰ παντὸς τοῦ συγγράμματος πατέρα μὲν καὶ ποιητὴν καὶ δημιουργὸν τὸν θεὸν πλάσας ἐκεῖνον, καὶ γ' ἔργον δὲ καὶ ἔκγονον τουτονὶ τὸν κόσμον ἀπ' ἀρχετύπου νοητοῦ παραδείγματος μίμημα αἰσθητὸν, πάνθ' ὅσα ἐκεῖνο νοητὰ περιέχοντα· αἰσθητὰ ἐν αὑτῷ, τελειότατον πρὸς νοῦ τελειότητα, ἐκμαγεῖον πρὸς αἴσθησιν,

Aristoteles / Plato

ἀλλ' ὅτι καὶ Ἀριστοτέλης ταῦτα μαρτυρεῖ περὶ Πλάτωνος, διὰ τὴν τῆς φιλοσοφίας αἰδῶ· μηδέποτ' ἂν ψευσάμενος· παρὰ δὲ τοῦ πλατωνικοῦ δόγματος ἔνιοι νομίζουσι τὸν ποιητὴν Ἡσίοδον, γενητὸν καὶ ἄφθαρτον οἰόμενοι τὸν κόσμον ὑπ' ἐκείνου λέγεσθαι· γενητὸν μὲν, ὅτι φησὶν

Hesiodus

Η ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα.
Γ γαῖ' εὐρύστερνος πάντων ἕδος ἀσφαλὲς αἰεί.

Aristoteles

ἄφθαρτον δὲ, ὅτι διάλυσιν ἢ φθορὰν οὐ μεμήνυκεν αὐτοῦ. χάος δὲ ὁ μὲν Ἀριστοτέλης χώραν οἴεται· ὅτι τὸ δεξόμενον ἀνάγκη προϋποκεῖσθαι σώματι· τὸ τοίνυν γενητὸν εἶναι τὸν κόσμον, ἐμφανέστατα παρ' Ἡσιόδῳ μεμήνυται· μακροῖς δὲ

Hesiodus / Moses

χρόνοις πρότερον, ὁ τοῦ Ἰουδαίων ἔθνους νομοθέτης Μωσῆς γενητὸν καὶ



ἄφθαρτον ἔφη τὸν κόσμον ἐν ἱεραῖς βίβλοις. εἰσὶ δὲ πέντε, ὧν τὴν πρώτην ἐπέγραψε Γένεσιν· ἐν ᾗ ἀρχόμενος τοῦτον τὸν τρόπον· ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. τοὺς δὲ ἀγένητον καὶ ἄφθαρτον κατασκευάζοντας λόγους προτέρους τακτέον· οἰκείαν ἀρχὴν λαβόντας. ἅπασι δὴ τοῖς φθορὰν ἐνδεχομένοις αἰτίαι δύο τῆς ἀπωλείας· ἡ μὲν, ἐντὸς· ἡ δὲ, ἐκτὸς προϋπόκεινται· σιδήρου μὲν καὶ χαλκοῦ καὶ τῶν τοιούτων τρόπον δὲ ὥσπερ ἂν ἀφανιζομένων· ἐξ ἑαυτῶν μὲν, ὅτε ἑρπινώδους νοσήματος τρόπον ἰὸς ἐπιδραμὼν διαφάγοι· παρὰ δὲ τῶν ἐκτὸς, ὅταν ἐμπιπραμένης οἰκίας ἢ πόλεως, συναναφλεχθεῖσαι τῇ πυρὸς βιαίῳ ῥοπῇ διαλυθῶσιν· ὁμοιοτρόπως δὲ καὶ ζῴοις ἐπιγίνεται τελευτή· νοσήμασι μὲν ἐξ ἑαυτῶν· ὑπὸ δὲ τῶν ἐκτὸς, σφαττομένοις ἢ καταλευομένοις ἢ ἐμπιπραμένοις· ἢ θάνατον οὐ καθαρὸν τὸν δι' ἀγχόνης ὑπομένουσιν. εἰ δὲ φθείρεται καὶ ὁ κόσμος, ἐξ ἀνάγκης ἤτοι ὑπό τινος τῶν ἐκτὸς, ἢ πρός τινος τῶν ἐν αὐτῷ διαφθαρήσεται δυνάμεων· ἀμήχανον δ' ἑκάτερον· ἐκτὸς μὲν γὰρ οὐδέν ἐστι τοῦ κόσμου· πάντων εἰς τὴν συμπλήρωσιν αὐτοῦ συνερανισθέντων· οὕτω γὰρ εἷς τε ἦν καὶ ὅλος καὶ ἀγήρως· εἷς μὲν καὶ ὅλος, διὰ τὴν προειρημένην αἰτίαν· ἀγήρως δὲ καὶ ἄνοσος· ἐπειδὴ τὰ νόσοις καὶ γήρᾳ σώματα ἁλωτὰ, θερμότησι καὶ ψύξεσι καὶ τοῖς ἄλλοις ἀναντιώσεσι, προσεπιπτούσαις ἔξωθεν ἰσχυρῶς ἀναζέπτεται· ὧν οὐδεμία δύναμις ἀποδρᾶσα κυκλοῦται καὶ ἐπιτίθεται παρὰ θεοῦ· μηδενὸς γὰρ ἀποστατοῦντος μέρους, ἀλλ' ὁλοκλήρου ἐγκατειλημμένου ἔσω. εἰ δ' ἄρα τί ἐστιν ἐκτὸς, πάντως ἂν εἴη κενὸν ἢ ἀπαθὴς φύσις, ἣν ἀδύνατον παθεῖν τι ἢ δρᾶσαι. καὶ μὴν οὐδ' ὑπό τινος αἰτίας διαλυθήσεται τῶν ἐντὸς αὐτοῦ· πρότερον μὲν, ἐπειδὴ τὸ ὅλον τοῦ μέρους καὶ μεῖζον ἔσται καὶ κραταιότερον, ὅπερ ἐστὶν ἀτοπώτατον· ὁ γὰρ κόσμος ἀνυπερβλήτῳ κράτει χρώμενος, ἄγει τὰ πάντα μέρη, πρὸς μηδενὸς αὐτὸς ἀγόμενος· ἔπειτα δὲ ὅτι δυοῖν οὐσῶν τῶν φθορᾶς αἰτιῶν, τῆς μὲν, ἐντὸς· τῆς δὲ, ἐκτὸς· ἃ τὴν ἑτέραν οἴεται ὑπομένειν, δεκτικὰ καὶ τῆς ἑτέρας ἐστὶ πάντως· σημεῖον δὲ, βοῦς· ἵππος· ἄνθρωπος· καὶ τὰ παραπλήσια ζῷα, διότι πέφυκεν ἀναιρεῖσθαι ὑπὸ σιδήρου, καὶ νόσῳ τελευτήσει. ἐπειδὴ τοίνυν οὐδὲ μὲν τῶν ἐκτὸς φθαρησόμενος ἐνδέχεται ὁ κόσμος, τῷ μηδὲν ἔξω καταλελεῖφθαι, πάντως οὐδ' ὑπό τινος τῶν ἐν αὐτῷ διὰ τὴν προεπιλογισθεῖσαν ἀπόδειξιν, καθ' ἣν τὸ ἁλωτὸν

ἑρπινώδους νοσήματος

συνερανισθέντων

Plato

τὴν ἑτέραν τῶν αἰτιῶν, καὶ τὴν ἑτέραν ἐπιπεφυκέναι ἀρχάς. μαρτυρία δὲ, καὶ τὰ ἐν Τιμαίῳ περὶ τοῦ τὸν κόσμον ἄνοσον εἶναι καὶ μὴ φθαρησόμενον, τάδε· τῶν δὲ δὴ τεττάρων, ἓν ἕκαστον ὅλον εἴληφεν ἡ τοῦ κόσμου σύστασις. ἐκ γὰρ πυρὸς παντὸς, ὕδατός τε καὶ ἀέρος καὶ γῆς συνέστησεν αὐτὸν ὁ συνιστάς· μέρος οὐδὲν οὐδενὸς, οὐδὲ δύναμιν ἔξωθεν ἀπολιπών· τάδε διανοηθείς· πρῶτον μὲν ἵνα ὅλον ὅτι μάλιστα ζῶον τέλειον ἐκ τελείων μερῶν εἴη· πρὸς δὲ τούτοις ἓν, ἅτε οὐχ ὑπολελειμμένον, ἐξ ὧν ἄλλο τοιοῦτον γένοιτ' ἄν. ἔτι δὲ, ἵν' ἀγήρω καὶ ἄνοσον ᾖ· κατανοῶν ὡς τῷ συστάτῳ σώματι θερμὰ καὶ ψυχρὰ, καὶ πάνθ' ὅσα δυνάμεις ἔχει ἰσχυρὰς, καὶ περιιστάμενα ἔξωθεν, καὶ προσπίπτοντα ἀκαίρως λύει· καὶ νόσους καὶ γῆρας ἐπάγοντα, φθίνειν ποιεῖ. διὰ τὴν αὐτὴν αἰτίαν, καὶ τὸν λογισμὸν τόνδε, θεὸς ὅλον ἐξ ὅλων ἁπάντων τέλειον καὶ ἀγήρω καὶ ἄνοσον αὐτὸν ἐτεκτήνατο. τοῦτο μὲν δὴ παρὰ Πλάτωνος πρὸς τὴν ἀφθαρσίαν τοῦ κόσμου μαρτύριον εἰλήφθω. τὸ δ' ἀγένητον παρὰ τῆς φυσικῆς ἀληθείας. ἕπεται γὰρ τῷ γενομένῳ διάλυσις· ἀφθαρσία δὲ τῷ ἀγενήτῳ. ἐπεὶ καὶ ὁ τὸ πρίμεξον ἐκεῖνο ποιήσας, „τό τοι γενόμενον κατθανεῖν ὀφείλεται. δυ κεῖμεν ἀπροσκοποῦ συνηθές· ἀλλ' ἀκολουθίαν τῆς φθορᾶς ὧδ' ἔχει. ἑτέρῳ δ' ἐστὶ τοιόνδε· πάνθ' ὅσα τῶν συνθέτων φθείρεται, διάλυσιν εἰς τὰ ἐξ ὧν συνετέθη λαμβάνει· διάλυσις δὲ, οὐδὲν ἦν ἄρα, ἢ πρὸς τὴν κατὰ φύσιν ἑκάστων ἐπάνοδος· ὥστε καὶ τοὐναντίον ἡ σύνθεσις, εἰς τὸ παρὰ φύσιν τὰ συνελθόντα βεβίασται. καὶ δῆτα, οὕτως ἔοικεν ἀψευδές τι ἔχειν. ἄνθρωποι γὰρ ἀπὸ τῶν τεττάρων στοιχείων, ἃ δὴ ὅλα τοῦ παντός ἐστιν, οὐρανοῦ, γῆς, ἀέρος τε καὶ πυρὸς, βραχέα μέρη δανεισάμενοι συνεκράθησαν· τὰ δ' ἀνακραθέντα, τῆς κατὰ φύσιν θέσεως ἐστέρηται. θερμότης μὲν, τῆς ἄνω φοίτου· κάτω δὲ, τῆς γεώδους καὶ βάρος ἐχούσης οὐσίας ἐπελαφρισθείσης, καὶ τὸν ἄνω τόπον ἀντιλαβούσης· ὧν τὸ γεωδέστατον τῶν ἐν ἡμῖν, ἐπ' ἄκρῳ κεφαλή. δεσμὸς δὲ φαυλότατος ὃν ἐσοφίσατο βία.

Plato

τό τοι γενόμενον κατθανεῖν ὀφείλεται

τὸ γεωδέστατον ἐν ἡμῖν ἐπ' ἄκρῳ ἡ κεφαλή

δεσμὸς φαυλότατος ὃν ἐσόφισε βία pulcherrimum



βία, βίαιος δ' ἐστὶ καὶ ὀλιγοχρόνιος. εἴργνυται, θᾶττον ὑπὸ τῶν δεθέντων, ἅτε ἀπαυχενιζόντων διὰ τὴν ὑπὸ τῆς κατὰ φύσιν κινήσεως, πρὸς τὴν ὠδίνοντα μετανίστασθαι· κατὰ γὰρ τὸν τραγικόν, χωρεῖ δ' ὀπίσω τὰ μὲν
„ ἐκ γαίας φύντ' ἐς γαῖαν· τὰ δ' ἀπ' αἰθερίου βλαστάνοντα, εἰς οὐράνιον
„ πόλον ἦλθε πάλιν. θνήσκει δ' οὐδὲν τῶν γιγνομένων. διακρινόμενον δ' ἄλλο πρὸς ἄλλο, μορφὴν ἰδίαν ἀπέδειξε. τοῖς μὲν δὴ φθειρομένοις ἅπασι, νόμος αὖ ἀγέγραπται καὶ θεσμὸς οὗτος· ὅπερ τὸ μὲν ὑφέστηκε τὰ συνεληλυθότα ἐν τῇ κράσει πρὸ τῆς κατὰ φύσιν τάξεως, ἀταξίᾳ αὐτὶ μετειληφέναι· τὸ πρὸς τοὺς ἐναντίους τόπους μετανίστασθαι, ὡς ξένον τινὰ ξενιτεύειν δοκεῖ· ὁπότε δὲ διαλύοιτο, πρὸς τὴν οἰκείαν τῆς φύσεως λῆξιν ἀνακάμπτειν. ὁ δὲ κόσμος ἀμέτοχος τῆς ἐν τοῖς λεχθεῖσιν ἀταξίας ἐστίν. ἐπεὶ φέρε θεασώμεθα. φθειρομένου τὰ μέρη νυνὶ μὲν αὐτὰ κατατετάχθαι παρὰ φύσιν ἑκάστου χώραν. τοῦτο δὲ ὑπονοεῖν οὐκ ἀγεννές· ἀεὶ στῆναι θέσιν καὶ τάξιν ἐναρμόνιον τὰ τοῦ κόσμου μέρη εἰληχέναι· ὥστ' ἕκαστον καθάπερ πατρίδα φιλοχωρεῖν, μὴ ζητεῖν ἀμείνω μεταβολήν. διὰ τοῦτο, γῆ μὲν ὁ μεσαίτατος ἀπονενέμηται τόπος, ἐφ' ὃν ῥέπει πάντα τὰ γεώδη· κἂν ἀναρρίψῃς τι τῶν γεωδῶν, κάτω φέρεται. τόδε τεκμήριον χώρας τῆς κατὰ φύσιν· ἔνθα γὰρ μὴ ὑποβεβλημένον οὔτι οὖν ἐπέχει, ἵσταται καὶ ἠρεμεῖ, τὸν οἰκεῖον εἰληχὸς χῶρον. ὕδωρ δὲ ἐπὶ γῆν ἀνακέχυται δεύτερον. ἀὴρ δὲ καὶ πῦρ, ἀπὸ τοῦ μέσου πρὸς τὸν ἄνω κεχώρηκεν. ἀὴρ μὲν, τὸν μεθόριον ὕδατος καὶ πυρὸς κληρωσάμενος τόπον· πῦρ δὲ, τὸν ἀνώτατον. διὸ κἂν ἀψάμενος δᾳδὸς πρὸς γῆν καταφέρῃς, ἡ φλὸξ οὐδὲν ἧττον ἀντιβιάσεται· καὶ πρὸς τὴν φυσικὴν τοῦ πυρὸς κίνησιν ἐπικουφίσασα αὐτὴν ἀναδραμεῖται. εἰ δὴ φθορᾶς μὲν αἴτιον ἡ παρὰ φύσιν κατὰ τῶν ἄλλων ἔχει ζώων· ἐν δὲ τῷ κόσμῳ κατὰ φύσιν ἕκαστα τῶν μερῶν διατέτακται, τὰς οἰκείας διακληρωσάμενα χώρας, ἐνδίκως ἂν λέγοιτο κόσμος ἄφθαρτος. ἔτι τοίνυν ἐκεῖνο παντί τῳ δῆλον· ὅτι φύσις ἑκάστη διατηρεῖν καὶ διασώζειν, εἰ δυνατόν τι ἦν, καὶ ἀθανατίζειν ἕκαστα ὧν φύσις ἐστὶν ἐσπούδακεν. ἡ μὲν ἐν τοῖς δένδρεσι, τὰ δένδρα· ἡ δὲ ἐν τοῖς

Tragicus poeta

θνήσκει δ' οὐδὲν τῶν γιγνομένων

Φιλοχωρεῖν

ζώοις, τῶν ζώων ἕκαστον ἔξωθεν εἴδη ἐπὶ μέρους ἀναγκαίως ἀδήλ-
πρὸς αἰτιότατα ἢ τὰ ἔνδεια· ἢ φλογμὸς, ἢ κρυμὸς ἢ μυρία ἄλλα,
τῶν εἰωθότων ἐπισυνίστασθαι κατασκήψαντα διέσεισε καὶ διέλυσε
τοὺς συνέχοντας δεσμοὺς, καὶ τέλος κατέρρηξε· μικρά τε αὖ καὶ μεγάλα
ἀγήρω διαφυλάττειν· ἀναγκαῖον ὄντα τοῦ κόσμου φύσει ἐπιλελῆχθαι
τοῦ ὅλου διαμονῆς· οὐ γὰρ δὴ τῶν ἐπὶ μέρη, ἐστὶ χεῖρον· ὡς ἀποδιδράσκου-
σα καὶ λειποτακτοῦσα· νόσον ἀνθ' ὑγείας, καὶ φθορὰν ἀντὶ σωτηρίας παν-
τελοῦς ἐπιχειρεῖ τεχνάζειν· ἐπειδὴ πασάων ὑπὲρ ἥδε κάρη ἔχει
ἠδὲ μέτωπα· ῥεῖα δ' ἀρίγνωτη πέλεται καλαὶ δέ τε πᾶσαι· ἀλλ' εἰ
γὰρ τ' ἀληθές ἐστι, φθορᾶς ὁ κόσμος οὐ δέξεται· διὰ τί; ὅτι ἡ συνέχουσα φύσις
αὐτὸν ἀήττητός ἐστι καὶ τῶν ἰσχύος ἐρρωμένη· τῶν ἄλλων ὅσα βλάπτειν ἔμελ-
λεν, ἅπαντα πάντα ἐπικρατοῦσα· διὸ καὶ Πλάτων φησὶν, οὐδὲν οὔτε *Plato*
προσιέναι αὐτῷ ποθὲν· αὐτὸ γὰρ ἑαυτῷ τροφὴν τὴν ἑαυτοῦ φθίσιν παρέ-
χειν, καὶ πάντα ἐν ἑαυτῷ καὶ ὑφ' ἑαυτοῦ πάσχον καὶ δρῶν, ἐκ τέχνης γεγο-
νὸς ἀεί· ἡγήσατο γὰρ αὐτὸ ὁ συνθεὶς αὔταρκες ὂν, ἄμεινον ἔσεσθαι μᾶλ-
λον ἢ προσδεές· ἀποδεικτικώτατος γοῦν κἀκεῖνος ὁ λόγος ἐστὶν, ἐφ'
ᾧ μυρίοι οἱ δὲ σεμνυνόμενοι, ὡς ἠκριβωμένῳ καὶ πάνυ ἀνεξε-
λέγκτῳ· συνθέμενοι γάρ, τίνος ἕνεκα τὸν κόσμον φθείρει ὁ θεός· ἤτοι γὰρ
ὑπὲρ τοῦ μηκέτι κοσμοποιῆσαι, ἢ ὑπὲρ τοῦ ἕτερον κατασκευάσαι· τὸ
μὲν δὴ πρότερον, ἀλλότριον θεοῦ· πρὸς τάξιν γὰρ ἀταξίαν μεταβάλλειν δέ-
ον, οὐ πρὸς ἀταξίαν τάξιν· εἶτα δ' ὅτι καὶ μετανοεῖ, πάθος καὶ νόσημα
δέξεται ψυχῆς· ἔδει γὰρ μὴ κοσμοποιήσασθαι παράπαν, ἢ κρίνοντα
πρέπειν αὐτῷ τὸ ἔργον, χαίρειν τῷ γενομένῳ· τὸ δὲ δεύτερον ἄξιον
οὐ βραχείας ἐρεύνης· εἰ γὰρ ἕτερον ἀντὶ τοῦ νῦν ὄντος κατασκευά-
σει, πάντως ὁ γενόμενος, ἢ χείρων ἢ κρείττων· ἢ ὅμοιος ἀποτε-
λεσθήσεται· ὧν ἕκαστον ἐπίληπτον· εἰ μὲν γὰρ χείρων ὁ κόσμος, *ἐπίληπτον reprehēsibi le*
χείρων καὶ ὁ δημιουργός· ἀμώμητα δὲ καὶ ἀνεξέλεγκτα καὶ ἀ-
νεπανόρθωτα τὰ τοῦ θεοῦ· τελειοτάτῃ τέχνῃ καὶ ἐπιστήμῃ δημι-
ουργηθέντα· ὥσπερ πρέπει δὲ θεῷ τὰ ἄμορφα μορφοῦν καὶ τοῖς αἰ-
σχίστοις περιτιθέναι θαυμαστὰ κάλλη· εἰ δ' ὅμοιος, ὁ τεχνίτης οὐδὲν

κομιδῆ



κομιδῆ νηπίων παίδων διαφέρει· οἱ πολλάκις παρ' αἰγιαλοῖς ἀθύροντες
ψάμμου γεωλόφους ἀνιστᾶσι κἄπειτα ὑφαιροῦντες ταῖς χερσί· πάλιν ἐ-
ρείπουσι· πολὺ γὰρ ἄμεινον ἦν κατασκευάζειν ὅμοιον, μηδὲν μήτε ἀφαι-
ροῦντα μήτε προστιθέντα· μήτε πρὸς τὸ ἄμεινον ἢ χεῖρον μετα-
βάλλοντα, τὸν ἐξ ἀρχῆς γενόμενον ἅπαξ καθ' ὅρους ἐᾶν· εἰ δὲ κρείττονα
δημιουργήσει, γενήσεται τε κρείττων καὶ ὁ δημιουργός· ὥσθ' ἡνίκα
κατεσκεύαζε, καὶ τὴν τέχνην καὶ τὴν διάνοιαν ἀτελέστερος· ὅπερ οὐδὲ θέμις
ὑπονοεῖν· πρὸς δὲ τούτῳ, τὰ μὲν τῶν θνητῶν ἔργα ἡμῶν, φθαρτὰ δεόντως ἂν
γένοιτο· τὰ δὲ τοῦ ἀθανάτου κατὰ τὸν εἰκότα λόγον, ἄφθαρτα δήπου·
τῇ γὰρ φύσει τοῦ τεχνίτου, εὔλογον τὰ δημιουργηθέντα ἐξομοιοῦσθαι·
ἀποδείξεσι δὲ οἱ περὶ τὸν Βοηθὸν κέχρηνται πιθανωτάταις· ἃς αὐτί- *Boethus*
κα λέξομεν· φασὶ γὰρ, εἰ γενητὸς καὶ φθαρτὸς ὁ κόσμος, ἐκ τοῦ μὴ
ὄντος τι γενήσεται· ὅπερ καὶ τοῖς στωϊκοῖς ἀτοπώτατον δοκεῖ εἶναι· διὰ τί;
ὅτι οὐδεμίαν φθοροποιὸν αἰτίαν εὑρεῖν ἐστιν· οὔτ' ἐντὸς, οὔτ' ἐκτὸς ἥ
τὸν κόσμον ἀνελεῖ· ἐκτὸς μὲν γὰρ οὐδέν ἐστιν, ὅτι μὴ τάχα που κενόν· τῶν *ὅτι μὴ .i. nisi*
στοιχείων ἀποκριθέντων εἰς αὐτὸν ὁλοκλήρων· εἴσω δ' οὐδὲν νόσημα τοιοῦτον,
ὃ γένοιτ' ἂν αἴτιον θεῷ τοσούτῳ διαλύσεως· εἰ δ' ἀναιτίως φθείρεται
δῆλον ὅτι ἐκ τοῦ μὴ ὄντος ἔσται ἡ γένεσις τῆς φθορᾶς· ὅπερ οὐ-
δὲ ἡ διάνοια παραδέξεται· καὶ μήν φασιν ὅτι γενικοὶ φθορᾶς *Modi siue species cor ruptionis tres*
τρόποι εἰσὶ τρεῖς, ὅ τε κατὰ διαίρεσιν, καὶ ὁ κατὰ ἀναίρεσιν τῆς ἐπεχούσης
ποιότητος, καὶ ὁ κατὰ σύγχυσιν· τὰ μὲν οὖν ἐκ διεστηκότων αἰπόλια·
βουκόλια· στρατεύματα· χοροί· ἢ πάλιν ἐκ συναπτομένων σώματα
τὰ γενόμενα διαστάσει καὶ διαιρέσει λύεται· κατὰ δὲ ἀναίρεσιν τῆς ἐπεχούσης
ποιότητος ὁ μετασχηματιζόμενος· ἵνα μηδὲ ἑτεροειδῆ τινα τύπον
παρ' ἀρχὴν μορφῆς· κατὰ δὲ σύγχυσιν, ὡς ἡ παρ' ἰατροῖς τετραφάρμακος· *Tetrapharmacos*
αἱ γὰρ δυνάμεις τῶν συνενεχθέντων, ἠφανίσθησαν εἰς ἐξαίρετον μιᾶς
γένεσιν ἀποτελεσθεῖσαι· ποίῳ δὴ τούτων ἄξιον, τὸν κόσμον φθείρεσθαι
φάναι· τῷ κατὰ διαίρεσιν· ἀλλ' οὔτε ἐκ διεστηκότων ἐστὶν ὡς τὰ μέρη σκε-
δασθῆναι· οὔτε ἐκ συναπτομένων ὡς διαλυθῆναι· οὔτε τοιοῦτον αὐτοῦ τρόπον τῶν
ἡμετέρων ἡνωμένων σώμασι· τὰ μὲν γὰρ ἐπίκηρά τε ἐξ ἑαυτῶν ἔχει καὶ *ἐπίκηρος*

δυναστεύεται πρὸ μυρίων ἀφῶν βλάπτεται. τοῦ δὲ ἡττητος ἡ ἐρρωμένη περιλείπεται τινὶ περιουσία πάντων κατακρατοῦσα. ἀλλ' ἀναιρέσει παντελεῖ τῆς ποιότητος, ἀλλ' ἀμήχανον τοῦτό γε. μένει γὰρ καὶ τῆς τἀναντία αἱρουμένης ἡ τῆς διακοσμήσεως ποιότης ἐπ' ἐλάττονος οὐσίας, τῇ τότου ἰδίου σταλεῖσα κατὰ τὴν ἐκπύρωσιν. ἀλλὰ τῷ κατὰ σύγχυσιν; ἄπαγε. δεήσει γὰρ πάλιν ὡς τὸ μὴ ὂν γίνεσθαι τὴν φθορὰν παραδέχεσθαι. τοῦ χάριν; ὅτι εἰ μὲν ἕκαστον ἐν μέρει τῶν στοιχείων ἐφθείρετο, μεταβολὴν ἠδύνατο τὴν εἰς ἕτερον δέχεσθαι. πάντων συλλήβδην ἀθρόον κατὰ σύγχυσιν ἀναιρουμένων, ἀνάγκη ὑπονοεῖν τὸ ἀδύνατον. ἐκεῖνο δ' ἄξιον διαπορῆσαι, τίνα τρόπον ἔσται παλιγγενεσία, πάντων εἰς πῦρ ἀναλυθέντων. ἐξαναλωθείσης γὰρ τῆς οὐσίας ὑπὸ πυρὸς, ἀνάγκη καὶ τὸ πῦρ οὐκ ἔτι ἔχον τροφὴν ἀποσβεσθῆναι. μένοντος μὲν γὰρ, ὁ σπερματικὸς ἐσώζετο λόγος τῆς διακοσμήσεως. ἀναλυθέντος δὲ, συνανῄρηται. τὸ δὲ ἐστὶν ἔκθεσμον καὶ ἀσέβημα ἤδη διπλοῦν. μὴ μόνον φθορὰν τοῦ κόσμου κατηγορεῖν, ἀλλὰ καὶ παλιγγενεσίαν ἀναιρεῖν. ὥσπερ ἀκοσμίᾳ καὶ ἀπραξίᾳ καὶ τοῖς πλημμελέσι πᾶσι χαίροντος θεοῦ. τὸν δὲ λόγον, ἀκριβέστερον ὧδε διερευνητέον. πυρὸς, τρίτον εἶδος. τὸ μὲν, ἄνθραξ. τὸ δὲ, φλόξ. τὸ δὲ, αὐγή. ἄνθραξ μὲν οὖν ἐστι, πῦρ ἐν γεώδει. ὃν τρόπον ἕξεως πνευματικῆς πεφωλευκὸς καὶ ἐλλοχᾷ δι' ὅλης ἄχρι περάτων τεταμένον. φλὸξ δέ ἐστιν, ὅπερ ἐκ τροφῆς αἴρεται μετεωριζόμενον. αὐγὴ δὲ, τὸ ἀποστελλόμενον ἐκ φλογὸς, συνεργὸν ὀφθαλμοῖς εἰς τὴν τῶν ὁρατῶν ἀντίληψιν. μέσην δὲ χώραν αὐγῆς τε καὶ ἄνθρακος εἴληχε φλόξ. σβεσθεῖσα μὲν γὰρ, εἰς ἄνθρακα τελευτᾷ. ζωπυρουμένη δὲ ἔχει φέγγος, ὅτε καυστικὴν ἀφῃρημένον δύναμιν, ἀστράπτει. εἰ κατὰ τὴν ἐκπύρωσιν οὖν τὸν κόσμον ἀναλύεσθαι φασὶ, ἄνθραξ μὲν οὐκ ἂν γένοιτο. διότι παμπληθὲς ὑπολείψεται τὸ γεῶδες. ὡς τὸ πῦρ ἐγκατειλῆφθαι συμβέβηκεν. ἀρέσκει δὲ μηδὲν ἔτι τῶν ἄλλων ὑφεστάναι σωμάτων. ἀλλὰ γῆν καὶ ὕδωρ καὶ ἀέρα, εἰς ἄκρατον πῦρ ἀναλύεσθαι. καὶ μὴν οὐδὲ φλόξ. ἅμα μὲν γὰρ τροφῆς ἐστι. μηδενὸς δὲ καταλειφθέντος, ἀτροφήσασα αὐτίκα

ἀποσβεσθήσεται

Ecpyrosis

Palingenesia

Ignis species triplex
Carbo
Flamma
Splendor



ἀποσβεσθήσεται. τοῖς ἕπεται, τὸ μηδ' αὐγὴν ἀπολεῖσθαι. καθ' ἑαυτὴν γὰρ ὑπόστασιν οὐκ ἔχει. ῥεῖ δ' ἀπὸ τῶν προτέρων ἄνθρακος καὶ φλογός. ἀφ' οὗ μὲν ἔλαττον, πολὺ δ' ἀπὸ φλογός. ἐκείνων δ' ὡς ἐδείχθη κατὰ τὴν ἐκπύρωσιν οὐκ ὄντων, οὐδ' ἂν αὐγὴ γένοιτο. ὥστ' ἀμήχανον παλιγγενεσίαν τὸν κόσμον λαβεῖν, μηδενὸς ἐντυφομένου σπερματικοῦ λόγου. ἐξ ὧν ἐστι δῆλον, ὅτι ἀγένητος καὶ ἄφθαρτος ὢν διατελεῖ. δίχα γε τῶν εἰρημένων, κἂν ἐκείνῳ χρήσαιτο ἄν τις εἰς πίστιν, ὃ καὶ τοὺς μὴ πέρα τοῦ μετρίου φιλονεικεῖν αἱρουμένους ὑπάξεται. τῶν ἐν ταῖς συζυγίαις ἐναντίων ἀμήχανον τὸ μὲν, εἶναι· τὸ δὲ, μή. λευκοῦ γὰρ ὄντος, ἀνάγκη καὶ μέλαν ὑπάρχειν, καὶ μεγάλου βραχὺ, καὶ περιττοῦ, ἄρτιον. καὶ γλυκέος πικρόν. καὶ ἡμέρας νύκτα, καὶ ὅσα τούτοις ὁμοιότροπα. γενομένης δ' ἐκπυρώσεως, ἀδύνατόν τι συμβήσεται. τὸ μὲν γὰρ ἕτερον ὑπάρξει τῶν ἐν ταῖς συζυγίαις. τὸ δὲ ἕτερον οὐκ ἔσται· φέρε δ' οὑτωσὶ θεασώμεθα. πάντων γὰρ εἰς πῦρ ἀναλυθέντων, κοῦφον μὲν ἔσται καὶ μανὸν καὶ θερμόν. ἴδια γὰρ πυρὸς ταῦτα. βαρὺ δ' οὐδὲν ἢ πυκνὸν, ἢ ψυχρόν. τὰ τοῖς λεχθεῖσιν ἐναντία. πῶς οὖν αὖτις ὑπάρξεται μᾶλλον τὴν πεπλεγμένην ἐκ τῆς ἐκπυρώσεως ἀκοσμίαν ἢ τὰ φύσει σώου παρχοντα δεικνὺς ἀπαρτώμενα τῆς συζυγίας. ἡ δ' ἀλλοτρίωσις τῶν τοσοῦτον κεχώρηκεν, ὡς τοῖς μὲν ἀϊδιότητα προσομολογεῖσθαι. τοῖς δὲ τὸ ἀνύπαρκτον. ἔτι τοίνυν κἀκεῖνο μοι δοκεῖ, μὴ ἀπὸ σκοποῦ τοῖς ἰχνηλατοῦσι τἀληθὲς εἰρῆσθαι. φθείρεται μὲν ὁ κόσμος, ἤτοι ὑπό τινος φθαρήσεται αἰτίας, ἢ ὑπὸ θεοῦ. ὑπ' ἄλλου δὲ οὐδενὸς τὸ παράπαν δέξεται διάλυσιν. οὐδὲν γάρ ἐστιν ὃ μὴ περιέχει. τὸ δὲ περιεχόμενον καὶ κρατούμενον ἀσθενέστερόν ἐστί που τοῦ περιέχοντος, ὑφ' οὗ καὶ κατακρατεῖται. ὑπὸ δὲ θεοῦ φθείρεσθαι λέγειν αὐτὸν, πάντων ἀνοσιώτατον. ὁ γὰρ θεὸς, οὐκ ἀταξίας, καὶ ἀκοσμίας, καὶ φθορᾶς. ἀλλὰ τάξεως καὶ εὐκοσμίας καὶ ζωῆς, καὶ πάντων αἴτιος ἀγαθῶν ἀνωμολόγηται παρὰ τοῖς τἀληθῆ δοξάζουσι. προσφιλοτεχνοῦντες δέ τινες τῶν ἀΐδιον ὑπολαμβανόντων τὸν κόσμον εἶναι, καὶ τοιῷδε τρόπῳ κατασκευὴν λόγῳ χρῶνται. φθορᾶς τέτταρες

ἰχνηλατοῦσι

εἶναι τρόπους τοὺς ἀνωτάτω συμβέβηκε· πρόσθεσιν, ἀφαίρεσιν, μετάθεσιν, καὶ ἀλλοίωσιν. δυὰς μὲν οὖν, προσθέσει μονάδος εἰς τριάδα φθείρεται, μηκέτι μένουσα δυάς· τετρὰς δ' ἀφαιρέσει μονάδος, εἰς τριάδα· μεταθέσει δὲ, τὸ Ζ στοιχεῖον εἰς Η, ὅταν αἱ μὲν ἐγκάρσιοι παράλληλοι πρὸς ὀρθὰς ἀναστῶσιν· ἡ δὲ ἐπὶ ὀρθὰς ἐπιζευγνυμένη πλαγιασθεῖσα συνάψῃ τὰς ἑκατέρας· κατὰ ἀλλοίωσιν δὲ, μεταβαλὼν οἶνος εἰς ὄξος. τῶν δὲ κατειλεγμένων τρόπων, οὐδεὶς ἐφάπτεται τοῦ κόσμου παράπαν. ἐπεὶ καὶ τί φῶμεν, προστιθέναι τι τῷ κόσμῳ πρὸς ἀναίρεσιν; ἀλλ' οὐδὲν ἔστιν ἐκτὸς, ὃ μὴ μέρος ἐστὶν αὐτοῦ ὅλου· περιέχεται δὲ καὶ κατακρατεῖται. ἀλλ' ἀφαιρεθῆναι; πρῶτον μὲν τὸ ἀφαιρεθὲν, πάλιν κόσμος ἔσται τοῦ νῦν βραχύτερος. ἔπειτα ἀμήχανον ἔξω τι σῶμα τοῦ ὅλου διαστῆναι τῆς συμφυΐας σκεδασθῆναι. ἀλλὰ τὰ μέρη μετατίθεσθαι; μάλιστα μὲν οὖν ἐν ὁμοίῳ, τοὺς τόπους οὐκ ἐναλλάττοντα. εἰ γὰρ ἐγχωρήσεται ἐπὶ ὕδατι πᾶσα ἡ γῆ οὐδ' ὕδωρ ἀέρι, οὐδ' ἀὴρ πυρί· ἀλλὰ τὰ μὲν φύσει βαρέα, γῆ καὶ ὕδωρ τὸν μέσον ὑφέζηται τόπον, γῆ μὲν θεμελίου τρόπον, ὑπερχυθὲν δ' ὕδατος δ' ἐπιπολάζοντος. ἀὴρ δὲ καὶ πῦρ τὰ φύσει κοῦφα, τὴν ἄνω· καὶ μὴν οὐδὲ κατὰ ἀλλοίωσιν φθείρεσθαι νομιστέον· ἰσοκρατὴς γὰρ ἡ τῶν στοιχείων μεταβολή. τὸ δ' ἰσοκρατὲς, ἀκλινοῦς βεβαιότητος καὶ ἀσαλεύτου μονῆς αἴτιον· ἅτε μὴ πλεονεκτούμενον, ὥστε ἢν ἀντίδοσις καὶ ἀντέκτισις τῶν δυναμένων ἀναλογίαις ἐξισουμένη καρποῦται. ἔτι ἅτε λυτήρους ἐστὶ δημιουργός· ἐξ ὧν ἀΐδιος ὁ κόσμος ἀποδέδεικται. Θεόφραστος μέντοι φησὶ τοὺς γένεσιν καὶ φθορὰν τοῦ κόσμου κατηγοροῦντας, ὑπὸ τεττάρων ἀπατηθῆναι τῶν μεγίστων, γῆς ἀνωμαλίας· θαλάττης ἀναχωρήσεως· ἑκάστου τῶν τοῦ ὅλου μερῶν διαλύσεως· χερσαίων φθορᾶς κατὰ γένη ζώων· κατασκευάζουσι δὲ, τὸ μὲν πρῶτον οὕτως· εἰ μὴ γενέσεως ἀρχὴν ἔλαβεν ἡ γῆ, μέρος ὑπανεστὼς οὐδὲν ἂν ἔτι αὐτῆς ἑωρᾶτο· χθαμαλὰ δ' ἤδη τὰ ὄρη πάντα ἐγεγόνει· καὶ οἱ γεώλοφοι πάντες ἰσόπεδοι τοῖς πεδιάσι· τοσούτων γὰρ καθ' ἕκαστον ἐνιαυτὸν ὄμβρων ἐξ αἰῶνος φερομένων, εἰκὸς ἦν τῶν διηρμένων εἰς ὕψος, τὰ μὲν χειμάρροις ἀπερρῆχθαι, τὰ δ' ὑπονοστήσαντα κεχαλάσθαι· πάντα δὲ διὰ πάντων ἤδη λελειάνθαι· νυνὶ δὲ, συ-

νεχεῖς

Theophrast.

χαλη γορουντας γένεσιν καὶ φθορὰν τοῦ κόσμου



νεχεῖς ἀνωμαλίαι, καὶ παμμήκων ὀρῶν αἱ πρὸς ὕψος ὑπερβολαὶ μηνύματ' ἐστὶ, τοῦ τὴν γῆν μὴ ἀΐδιον εἶναι. πάλαι γὰρ ὡς ἔφην ἐν ἀπείρῳ χρόνῳ τῆς ἐνδελεχείας ἀπὸ περάτων ἐπὶ πέρατα πᾶσα λεωφόρος ἐγεγόνει· πέφυκε γὰρ ἡ ὕδατος φύσις, καὶ μάλιστα ἀπὸ ὑψηλοτάτων καταράττουσα, τὰ μὲν ἐξωθεῖν τῇ βίᾳ, τὰ δὲ τῇ συνεχεῖ τῶν ψεκάδων καλάττουσα κοιλαίνειν· ὑπεργάζεσθαί τε τῆς σκληρογείου καὶ λιθώδους οὐχ ἧττον, ὀρυκτῆρος οὐκ ἔλαττον. καὶ μὴν ἥ γε θάλαττα φασὶν ἤδη μεμείωται· μάρτυρες δὲ αἱ νήσων ἐνδοξόταται, Ῥόδος τε καὶ Δῆλος. αὗται γὰρ τὸ μὲν παλαιὸν ἠφανισμέναι κατὰ τῆς θαλάττης ἐδεδύκεσαν ἐπικλυζόμεναι· χρόνῳ δ' ὕστερον ἐλαττουμένης ἠρέμα, κατ' ὀλίγον αἱ ἀναχυθεῖσαι διεφάνησαν, ὡς αἱ περὶ αὐτῶν γραφεῖσαι μηνύουσιν ἱστορίαι. πρὸς δὲ τούτοις, μετὰ πελάγη μεγάλους κόλπους καὶ βαθεῖς ἀναξηρανθέντας, ἠπειρῶσθαι καὶ γεγονέναι τῆς παρακειμένης χώρας μοῖραν οὐ λυπρὰν, σπειρομένους καὶ φυτευομένους· οἷς σημεῖα τινὰ τῆς παλαιᾶς ἐγκαταλελεῖφθαι θαλαττώσεως, ψηφῖδάς τε καὶ κόχλους, καὶ ὅσα ὁμοιότροπα πρὸς αἰγιαλοὺς εἴωθεν ἀποβράττεσθαι. εἰ δὲ μειοῦται ἡ θάλαττα, μειωθήσεται μὲν ἡ γῆ, μακραῖς δ' ἐνιαυτῶν περιόδοις, καὶ ἑκάτερον στοιχεῖον ἀναλωθήσεται, δαπανηθήσεται καὶ ὁ σύμπας ἀὴρ, ἐκ τοῦ κατ' ὀλίγον ἐλαττούμενος· ἀποκριθήσεται δὲ τὰ πάντα εἰς μίαν οὐσίαν τὴν πυρός. πρὸς δὲ τὴν τοῦ τρίτου κατασκευὴν κεφαλαίου, χρῶνται λόγῳ τοιῷδε· φθείρεται πάντως ἐκεῖνο, οὗ πάντα τὰ μέρη φθαρτά ἐστι. τοῦ δὲ κόσμου πάντα τὰ μέρη φθαρτά ἐστι· φθαρτὸς ἄρα ὁ κόσμος. ὃ δὲ ὑπερεθέμεθα, νῦν ἐπισκεπτέον. ποῖον μέρος τῆς γῆς, ἵνα ἀπὸ ταύτης ἀρξώμεθα, μεῖζον ἢ ἔλαττον, οὐ χρόνῳ διαλύεται; λίθων οἱ κραταιότατοι ἆρ' οὐ μυδῶσι καὶ σήπονται κατὰ τὴν ἕξεως ἀσθένειαν· ἡ δέ ἐστι πνευματικὸς τόνος, δεσμὸς οὐκ ἄρρηκτος, ἀλλὰ μόνον δυσδιάλυτος· θρυπτόμενοι καὶ ῥέοντες, εἰς λεπτὴν πρῶτον ἀναλύονται κόνιν, εἶθ' ὕστερον δαπανηθέντες, ἐξαναλοῦνται; τί δ' εἰ μὴ πρὸς ἀνέμων ῥιπίζοιτο τὸ ὕδωρ, οὐκ ἀκίνητον ἐαθὲν ὑφ' ἡσυχίας νεκροῦται; μεταβάλλει γοῦν καὶ δυσωδέστατον γίνεται, οἷα ψυχὴν ἀφῃρημένον ζῶον. αἵ γε μὴν ἀέρος φθοραὶ, παντί τῳ δῆλον· νοσεῖν γὰρ

λεωφόρος

De Rhodo & delo notandum

καὶ φθίνειν τρόπον τινὰ ἀριθμητικὸν πέφυκεν, ἐπεὶ τί αὐτοῖς μὴ στοχαζόμενοι ὀνομάτων εὐπρεπείαις, ἀλλὰ τἀληθοῦς, εἴποι λοιμὸν εἶναι, πλὴν ἀέρος θάνατον· τὸ οἰκεῖον πάθος ἀναχέοντος ἐπὶ φθορᾷ πάντων, ὅσα ψυχῆς μεμοίραται. τί χρὴ μακρηγορεῖν περὶ πυρός; ἀτροφῆσαν γάρ, αὐτίκα σβέννυται. εἰ δὴ τῶν μερῶν ἕκαστον τοῦ κόσμου φθορὰν ἐπιδέχεται, δῆλον ὅτι καὶ ὁ ἐξ αὐτῶν παγεὶς κόσμος, ἄφθαρτος οὐκ ἔσται. τὸν δὲ τέταρτον καὶ λοιπὸν λόγον ἀκριβωτέον ὧδέ φασιν· εἰ ὁ κόσμος ἀΐδιος ἦν, ἦν ἂν καὶ τὰ ζῷα ἀΐδια· καὶ πολύ γε μᾶλλον τὸ τῶν ἀνθρώπων γένος, ὅσῳ καὶ τῶν ἄλλων ἄμεινον· ἀλλὰ καὶ ὀψίγονον φανὲν τοῖς βουλομένοις ἐρευνᾶν τὰς φύσεις. εἰκὸς γάρ, μᾶλλον δ' ἀναγκαῖον, ἀνθρώποις συνυπάρξαι τὰς τέχνας ὡς ἂν ἰσήλικας· οὐ μόνον ὅτι λογικῇ φύσει ἐμμέθοδον τὸ οἰκεῖον, ἀλλὰ καὶ ὅτι ζῆν ἄνευ τούτων οὐκ ἔστιν. ἴδωμεν οὖν τοὺς ἑκάστων χρόνους ἀναλογισάμενοι τῶν ἐπιτραγῳδουμένων θεοῖς μύθων. εἰ μὴ ἀΐδιος ἄνθρωπος, οὐδ' ἄλλο τι ζῷον· ὥστε οὐδ' αἱ δεξάμεναι ταῦτα χῶραι, γῆ καὶ ὕδωρ καὶ ἀήρ, ἐξ ὧν τὸ φθαρτὸν εἶναι τὸν κόσμον, δῆλόν ἐστιν. ἀναγκαῖον δὲ πρὸς τὴν τοσαύτην εὑρεσιλογίαν ἀπαντῆσαι, μή τις τῶν ἀπειροτέρων ὑπαχθῇ. καὶ ἀρκτέον γε τῆς ἀντιρρήσεως, ἀφ' οὗ καὶ τῆς ἀπάτης οἰονεὶ τῆς ἀνωμαλίας· οὐκέτι χρῆν εἶναι φασὶ γῆς, εἴπερ ἀΐδιος ἦν ὁ κόσμος. διὰ τί; ὅτι γηραιαὶ φύσουσι γὰρ ἕτεροι παρελθόντες· ὅτι δένδρων οὐδὲν αἱ φύσεις τῶν ὀρῶν διαφέρουσιν· ἀλλὰ καθάπερ ἐκεῖνα καιροῖς μέν τισι φυλλορροεῖ, καιροῖς δὲ πάλιν ἀνηβᾷ, τὸν αὐτὸν τρόπον καὶ τῶν ὀρῶν, τὰ μὲν ἀποθραύεται μέρη, τὰ δὲ προσφύεται· μακροῖς δὲ χρόνοις ἡ πρόσφυσις καθίσταται γνώριμος. διότι τὰ μὲν δένδρα ὠκύτερα χρώμενα τῇ φύσει, θᾶττον καταλαμβάνειν ἔχει τὴν ἐπίδοσιν· τὰ δ' ὄρη βραδύτερα· διὸ καὶ τὰς ἐκφύσεις αὐτῶν αἰσθητὰς ὅτι μὴ χρόνῳ μακρῷ μόλις εἶναι συμβέβηκεν. ἐοίκασί τε τὸν τρόπον τῆς γενέσεως αὐτῶν ἀγνοεῖν· ἐπεὶ κἂν ἴσως αἰδεσθέντες ἡσύχασαν. φθόνος δ' οὐδεὶς ἀναδιδάσκειν· ἔστι δ' οὔ τι νέον τὸ λεγόμενον οὐδ' ἡμέτερον εὕρημα, ἀλλὰ παλαιῶν

εὑρησιλογίαν



ἀλλὰ παλαιῶν καὶ σοφῶν ἀνδρῶν, οἷς οὐδὲν ἀδιερεύνητον τῶν εἰς ἐπιστήμην ἀναγκαίων ἀπολέλειπται. ὅτι τὸ κατακεκλεισμένον ἐν τῇ γῇ πυρῶδες, ἄνω τῇ τοῦ πυρὸς ἐλαυνόμενον φυσικῇ δυνάμει, πρὸς τὸν οἰκεῖον τόπον στέλλεται· κἂν μέν τινος λάβηται βραχείας ἀναπνοῆς, ἄνω μὲν συναναρπάζει τεμάχιον τῆς γεώδους οὐσίας, ὅσον ἂν οἷόν τε ᾖ· ἔξω δὲ ἐπιγινόμενον, φέρεσθαι βραχύτερον· ἢ καὶ μέχρι πολλοῦ συμπαρελθοῦσα βιασθεῖσα, πρὸς μήκιστον ἀρθεῖσα ὕψος συστέλλεται κορυφουμένη· ἡ πρὸς ὀξεῖαν ἀποτελευτᾷ κορυφήν, πυρὸς σχῆμα μιμουμένη. γίνεται γὰρ τοῦ κουφοτέρου καὶ βαρυτέρου τότε τῇ φύσει ἀντιπάλων, ἀναγκαία συρραξάντων διαμάχη, πρὸς τὴν οἰκείαν ἑκατέρου χώραν ἐπειγομένου, καὶ τὸ βιαζόμενον ἀντιτείνοντος. τὸ μὲν δὴ πυρῶν συνανελκον γῆν ὑπὸ τοῦ περὶ αὐτὴν ὠνυσικοῦ, βρίθειν ἀναγκάζεται. ἡ δὲ γῆ κατωτάτω ταλαντεύουσα, τῷ τοῦ πυρὸς ἀνωφοιτῷ ἐπελαφρισθεῖσα, μόλις ὑπὸ δυνατωτέρας τῆς ἐπικουφιζούσης ἰσχύος, ἄνω πρὸς τὴν τοῦ πυρὸς ἕδραν ὠθεῖται καὶ ἵσταται. πιθανὸν μᾶλλον, εἰ μὴ τὰ ὄρη τῶν ὑετῶν φοραῖς ἐξαμβλοῦνται· τῆς συνεχούσης αὐτὰ δυνάμεως ὑφῆς διανισταμένης μάλα παγίως ἀκραταιῶς ἐνειλημμένης. λυθέντος γὰρ δεσμοῦ τοῦ συνέχοντος, εἰκὸς ἦν διαλυθῆναι καὶ πρὸς ὕδατα σκεδασθῆναι· δυνάμει τε σφιγγόμενα τῇ τοῦ πυρός, στερεώτερα πρὸς τὰς τῶν ὑετῶν φορὰς ἀντέχει. ταῦτα μὲν οὖν ἡμῖν λελέχθω περὶ τῆς ἀνωμαλίας τῆς γῆς πρὸς τὸ ἐκεῖναι γενέσεως καὶ φθορᾶς κόσμου. πρὸς δὲ τὸ ἀπὸ τῆς μειώσεως τῆς θαλάσσης ἐπιχειρηθέν, ἐκεῖνο δεόντως ἂν λέγοιτο· μὴ τὰς ἀνισχούσας νήσους αὐτὸ μόνον, ἀλλὰ καὶ εἰ μὴ δεῖ τινες ἀποτομὰς κατακλυζομένας τὰς παλαιχοῦ, αὖθις ἠπειρωθησομένας σκοπεῖν χρή· φυσιολογεῖ γὰρ ἀντίπαλον φιλονεικίαν ζητεῖν θήγων ἡγουμένους ἀλήθειαν ἰχνηλατήσειν· ἀλλὰ πολυπραγμονεῖται καὶ τοὐναντίον· ὅσαι μὲν ἤπειροι οὐ παράλιοι μόνον, ἀλλὰ καὶ μεσόγειοι μοῖραι κατεπόθησαν· ὅτι δὲ χέρσος θαλαττωθεῖσα μυριοφόροις ναυσὶν ἐμπλεῖται, ἡ περὶ τὸν Σικελικὸν πορθμὸν ᾀδομένη ἱστορία, ἀγνοεῖται παρ' οὐδενὸς τῶν ἐλλογίμων. τὸ παλαιὸν ἠπείρῳ Ἰταλίᾳ Σικελίαν προσεπῆγνυσα· μεγάλων δὲ τῶν παρ' ἑκάτερα πελαγῶν βιαίοις πνεύμασιν ἐξ ἐναντίων

Italiae quondam Siciliam fuisse coniunctam

ἐπιδραμόντων, ἡ μεθόριος ἐπικλυσθεῖσα ἀπερράγη· παρ' ἣν καὶ πόλις ἐπώνυμος τοῦ πάθους ῥήγιον κτισθεῖσα ὠνομάσθη. καὶ τοὐναντίον οὗ προσεδόκησεν αὖτις ἀπέβη· συνεζεῦχθαι μὲν γὰρ τὰ τέως διεζευγμένα πελάγη, κατὰ τὸ σύρρουν ἑνωθέντα· ἡ δὲ ἡνωμένη γῆ, τῷ μεθορίῳ πορθμῷ διεζεύχθη· παρ' ὃ ἤπειρος οὖσα σικελία νῆσος ἐβιάσθη γενέσθαι. πολλὰς δὲ καὶ ἄλλας λόγος τῆς θαλάττης ὑπερσχούσης ἠφανίσθαι πόλεις καταποθείσας· ἐπεὶ καὶ κατὰ πελοπόννησον, φασὶ τρεῖς, αἴγειραν, βοῦραν, τε καὶ ἑλίκην, πολλῷ τῷ πελάγει ἐπικλυσθῆναι φορᾷ· ἤδη δὲ ἀτλαντίς νῆσος ἅμα λιβύης καὶ ἀσίας μείζων, ὥς φησιν ἐν τιμαίῳ πλάτων, ἡμέρᾳ μιᾷ καὶ νυκτὶ, σεισμῶν ἐξαισίων καὶ κατακλυσμῶν γενομένων δῦσα κατὰ τῆς θαλάττης, ἐξαίφνης ἠφανίσθη, γενομένη πέλαγος οὐ πλωτὸν, ἀλλὰ βαραθρῶδες· οὐδὲν οὖν εἰς τὸ φθείρεσθαι τὸν κόσμον ἡ πλασθεῖσα τῷ λόγῳ μείωσις τῆς θαλάττης συνεργεῖν φαίνεται· ἃ ὧν μὲν ἐξαναχωροῦσα, τὰ δὲ ἐπικλύζουσα ἔχειν δεῖ, μὴ δ' ἅτερα τῶν γινομένων· ἀλλ' ἀμφότερα συνάμφω θεωρεῖσθαι τὸν κεῖνα· ἐπεὶ καὶ τοῖς περὶ βίον ἀμφισβητήμασι, ὁ μόνος δικαστὴς, πρὶν παρὰ τῶν ἀντιδίκων ἀκοῦσαι γνώμην οὐκ ἀποφανεῖται. καὶ μὴν ὁ τέταρτος λόγος ἐξ ἑαυτοῦ διελέγχεται· μὴ ὑγιῶς ἐρωτηθεὶς, ἀπὸ τῆς εὐθὺς ἐν ἀρχῇ φάσεως· οὐ γὰρ εἰ δή που θεν οὐ πάντα τὰ μέρη φθείρεται, φθαρτὸν ὅλον ἐκεῖνο· ἀλλ' εἰ πάντα τὰ μέρη ἅμα καὶ ἐν ταὐτῷ ἀθρόα κατὰ τὸν αὐτὸν χρόνον· ἐπεὶ καὶ ἄκρον ἀποκόπτεις τις δάκτυλον, ζῆν ἐκεκώλυται· εἰ δὲ τὴν κοινωνίαν τῶν μερῶν καὶ μελῶν πᾶσαν, αὐτίκα τελευτήσει· τὸν αὐτὸν δὲ τὸν τρόπον, εἰ μὲν συμβέβηκεν ἅπαξ ἅπαντα τὰ στοιχεῖα ὑφ' ἓν καιροῦ ἠφανίζετο, φάσκειν ἐνδέχεσθαι τὸν κόσμον φθορὰν ἦν ἀναγκαῖον· εἰ δὲ κατ' ἰδίαν ἕκαστον εἰς τὸ ἕτερον μεταβάλλει φύσει, ἀθανατίζεσθαι μᾶλλον ἢ φθείρεσθαι. παντελὴς γὰρ μὲν εὐήθεια, τὸ γένος τῶν ἀνθρώπων ἀπὸ τῶν τεχνῶν ἐξετάζεσθαι. τῆς δὲ περὶ τοῦ λόγον ἀτοπίας τὶς ἀκολουθήσεις, νέον τοῦ κόσμου ἀποφανεῖ· κομιδῇ μόλις πρὸ χιλίων παρέργα ἐνιαυτῶν. ἐπεὶ ὃς περιείληφε μὲν τῶν ἐπισήμων ἄγεται τὸν λεχθέντα ἐνιαυτῶν ἀριθμόν

Rhegiū urbs unde dicta

Aegira Bura Helice — Vrbes

Platon

Atlantis insula maior lybya & asia simul

Non est ferendā sententiā donec utraq: pars audiatur leges precipe



ἐνιαυτῶν ἀριθμὸν οὐχ ὑπερβαίνουσι. εἰ δὲ δὴ καὶ λέγεται τὰς τέχνας ἰσήλικας ἀνθρώπων γένει, μεθ' ἱστορίας φυσικῆς, ἀλλ' οὐκ ἀπερισκέπτως καὶ ῥᾳθύμως λεκτέον· ἱστορία τις φθορᾶς τῶν κατὰ γῆν οὐκ ἀθρόων ἁπάντων ἀλλὰ τῶν πλείστων, δυσὶ ταῖς μεγίσταις αἰτίαις ἀνατίθενται, πυρὸς καὶ ὕδατος ἀλέκτοις φοραῖς. κατασκήπτειν δ' ἑκατέραν φασὶν ἐν μέρει, κατὰ πάνυ μακρὰς τῶν περιόδους. ὅτι μὲν οὖν ἐμπρησμοῖς καταλαμβάνει, ῥεῦμα αἰθέριον πυρὸς ἄνωθεν ἐκχεόμενον, πολλαχῇ σκεδασθὲν μεγάλα κλίματα τῆς οἰκουμένης ἐπιτρέχειν· ὅτε δὲ κατακλυσμὸς, ἅπασαν τὴν ὕδατος κατασύρειν φύσιν. αὖθι γινῶν ποταμῶν καὶ χειμάρρων οὐ πλημμυρούντων μόνον, ἀλλὰ καὶ τὸ καθεστῶς προσυπερβαλλόντων τὴν ἐπίβασιν· ὡς κατὰ δὴ τούς λεχθέντας τρόπους, δίχα μυρίων ἄλλων βραχυτέρων, φθειρομένου τοῦ πλείστου μέρους ἀνθρώπων, ἐπιλιπεῖν ἐξ ἀνάγκης καὶ τὰς τέχνας· δίχα γὰρ τοῦ μετιόντος, οὐκ εἶναι καθ' αὑτὴν ἰδεῖν ἐπιστήμην. ἐπειδὰν δὲ αἱ μὲν κοιναὶ νόσοι χαλάσωσι, ἄρξηται δὲ ἀνηβᾶν καὶ βλαστάνειν τὸ γένος ἐκ τῶν προκαταλειφθέντων τοῖς ἐπιβεβηκόσι νόσοις, ἄρχεσθαι καὶ τὰς τέχνας πάλιν ἀνίστασθαι· οὐ τότε πρῶτον γινομένας, ἀλλὰ τῇ μειώσει τῶν ἐχόντων ὑποπαναιθείσας, ἃ μὲν οὖν περὶ κόσμου παρειλήφαμεν, εἴρηται κατὰ δύναμιν.

Climata habitabilis nostre

## ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΠΥΡΟΣ.

Τοῦ πυρὸς φύσις ἰδιαιτάτας ἔχει δυνάμεις τῶν ἄλλων· ἀὴρ μὲν γὰρ καὶ ὕδωρ καὶ γῆ, τὰς εἰς ἄλληλα μόνον ποιεῖται μεταβολὰς φυσικάς. αὐτὸ δ' αὑτοῦ γεννητικὸν οὐδέν· τὸ δὲ πῦρ γεννᾶν καὶ φθείρειν πέφυκεν αὑτό· γεννᾷ μὲν τὸ ἔλαττον τὸ πλεῖον, φθείρει δὲ τὸ πλεῖον τὸ ἔλαττον· ἔτι δὲ αἱ γενέσεις αὐτοῦ αἱ πλεῖσται

De ignis prerogativa advertendū

καὶ οἷον μετὰ βίας. καὶ γὰρ ἡ πλῆξις τῶν στερεῶν ὥσπερ λίθων, καὶ θλίψις καὶ πίεσις καθάπερ τῶν πυρείων ὅσα ἔχει φοράς· ὥσπερ τῶν πυρουμένων καὶ τηκομένων. ἐκ δὲ αὐτοῦ ἀέρος καὶ τῶν νεφῶν συστροφαὶ καὶ θλίψεις βίαιοι· καὶ γὰρ δὴ αἱ φοραί. δι' ὧν δὴ οἱ πρηστῆρες καὶ κεραυνοὶ γίνονται· καὶ ὅσους δὴ χρόνους ἀμυστὶ τεθεωρήκαμεν. εἰ δ' ὑπὲρ τῆς γινομένης ἔτι ἐπὶ γῆς, εἴτ' ἀπὸ τῶν ἄστρων. αἱ γὰρ πολλαὶ δόξαιεν ἂν αὐτῶν μετὰ βίας. εἰ δ' ἄρα μὴ τοῦτ' ἀλλ' ἐκεῖνό γε φανερόν, ὅτι πλείους ἔχει γενέσεις· ὧν οὐδεμία τοῖς ἄλλοις ὑπάρχει, οὐδὲ ὅλως ὁ τρόπος οἰκεῖος. ἀλλὰ πάντων ὥσπερ ἐλέχθη φυσική τις μεταβολὴ καὶ γένεσις. διὸ κἀκεῖνο μὲν, ὅθεν ἐφ' ἡμῖν ποιεῖν. οὐδὲ γὰρ ὅταν τὸ ὕδωρ ὀρύττωμεν, αὐτὸ ποιοῦμεν· ἀλλ' εἰς ἐμφανὲς ἄγομεν, τὸ κατὰ μέρος μεμορισμένον ἀθροιζόμενον. τὸ αὐτὸ δὲ φαίνεται οὐ καθ' ἕνα τρόπον ἀλλὰ κατὰ πλείους. μεγίστη δ' αὕτη διαφορὰ δόξειεν ἂν εἶναι. τὰ μὲν γὰρ καθ' αὑτά ἐστιν· οὐδὲ ἐν ὑποκειμένῳ· πλὴν ὅγε τῇ περὶ ἡμᾶς αἰσθήσει φανερόν. εἴτ' ἀριθμητέον, εἴτε μὴ ἀριθμητόν γε τῆς φλογὸς καὶ τοῦ ἄνθρακος ὑποκειμένης· ἡ μὲν γὰρ καπνὸς καόμενος, τὸ δὲ γεῶδες τὸ στερεόν. ὁμοίως δὲ καὶ τὰ ἐν τοῖς μετάλλοις ἐκπυρούμενα καὶ τὰ ἐν τῇ γῇ. πάντα γὰρ ἢ ἀὴρ τοιοῦτος, ἢ πῦρ, ἢ ἀὴρ ἅμα καὶ ὑγρὸν καὶ ἀὴρ ἢ πάντα, ἢ τοῖν δυοῖν. ἁπλῶς δ' ἀεὶ καὶ πᾶν καιόμενόν τι. καὶ ὥσπερ γενέσει καθάπερ ἡ κίνησις ἰδεῖν. ἔτι γινόμενον φθείρεται καὶ ἅμα τῷ ὑπολιπεῖν τὸ καυστὸν καὶ αὐτὸ συναπόλλυται. τοῦτο γὰρ ἦν ἐστι τὸ παρὰ τῶν παλαιῶν λεγόμενον, ὅτι τροφὴν ἀεὶ ζητεῖ τὸ πῦρ· ὡς οὐκ ἐνδεχόμενον αὐτὸ διαμένειν ἄνευ τῆς ὕλης· ὃ καὶ ἄτοπον φαίνεται πρῶτον αὐτὸ λέγειν. τὸ ἀρχὴν μὴ οἷόν τε εἶναι χωρὶς ὕλης. οὔτε γὰρ ἁπλοῦν οὕτω γε, οὔτε πρότερον τοῦ ὑποκειμένου καὶ τῆς ὕλης, εἰ μή τις ἐν αὐτῇ τῇ πρώτῃ σφαίρᾳ τοιαύτη φύσις. ὥστε ἄμικτον εἶναι θερμότητα καὶ καθαράν. οὕτω δὲ, οὐκ ἂν ἔτι καίοι. πυρὸς δ' αὕτη φύσις, πλὴν εἰ ἄρα γε πλείους καὶ διάφοροι, καὶ ἡ μὲν πρώτη καθαρὰ καὶ ἄμικτος· ἡ δὲ περὶ τὴν τῆς σφαίρας, μεμιγμένη καὶ ἀεὶ κατὰ γένεσιν. ἡ δ' ἀρχὴ πρότερον ἀπ' ἐκείνης

τροφὴν ἀεὶ ζητεῖ τὸ πῦρ

αὐτῶν



αὐτῶν τῆς γενέσεως, ἢ ἀπὸ τῶν ὑποκειμένων. ὅταν ἐν κινήσει τοιᾷδε καὶ διαθέσει πρὸς ἄλληλα γένωνται, καθάπερ ἀρτίως ἐλέγομεν ἐπ' ἀμφοῖν. καὶ γὰρ ἡ κίνησις ἡ τοιάδε ἐστὶν ἀλλοίωσις εἰς τὴν τοῦ θερμοῦ πως ἀνάγεται φύσιν. ὁ γὰρ ἥλιος ὁ ταῦτα πάντα δημιουργῶν. πάλιν ἡ τοῦ ἡλίου μὲν τοῦ πυρός τις ἰδέα πλείστη ἂν ἐστι μεγίστη ἔχει διαφορὰν ἀρχή τις οὖσα καὶ πρὸς αὐτὰ ἥκουσα. ἐστὶ γὰρ φῶς ἀπὸ τούτου καὶ ἡ γόνιμος ἐν τοῖς ζώοις καὶ φυτοῖς θερμότης. ἔτι δὲ ἡ τοῦ γεώδους καὶ καιομένου τούτου πυρὸς δυνατὴ διὰ τούτου γίνεσθαι. πολλοὶ γοῦν καὶ ἐξάπτοντες ὑπολαμβάνουσιν εἶναι τὰς αὐγὰς ἀπὸ οὐ ἡλίου. εἰ δὲ μὴ ἔστι πῦρ μηδὲ πυρὸς φῶς. αὐτὸ μὲν γοῦν θαυμαστὸν καὶ … εἰ δὲ μηθ' ὑπὸ … καὶ διὰ τούτου ἡ θερμότης. ἐκεῖνο δὲ φανερὸν ὡς ἐν ὑποκειμένῳ τινὶ καὶ τὸ πῦρ ἐστὶν ὁ ἥλιος τὸ θερμόν. ἄτοπον δὲ καὶ τοῦτο πάλιν. εἰ ἀρχὴ ἐστὶ τὸ πρῶτον ἐν ὑποκειμένῳ. τὸ γὰρ θερμὸν καὶ ἡ τούτου δύναμις ἀρχή. κοινότερον γὰρ τοῦτο καὶ ἐπὶ πλέω διήκει. καὶ κυριώτερον ἀλλοιώσεως καὶ φυσικῆς γενέσεως. τὸ δὲ πῦρ ὡς εἴρηται γεννητικὸν μὲν αὑτοῦ, φθαρτικὸν δὲ ὡς ἐπίπαν τῶν ἄλλων. ὅθεν καὶ δῆλον ὡς ἑτέρα τις ἡ φύσις πυρὸς καὶ θερμοῦ. νῦν δὲ λέγομεν ὅταν ἐν τῷ γεώδει καὶ ἀερώδει τῆς ξηρᾶς ἀναθυμιάσεως καυστικὴ γένηται θερμότης. ἣν περιέχουσιν ἐν τοῖς ὑγροῖς ὑπάρχειν. πλὴν ὥσπερ σάρκα λεγόμενον λέγειν. ἀλλὰ γὰρ ταῦτα ἔοικεν εἰς μείζω τινὰ σκέψιν ἐκφέρειν ἡμᾶς τῶν ὑποκειμένων. ἢ ζητεῖ τὰς πρώτας αἰτίας. φαίνεται γὰρ οὕτω λαμβάνουσι τὸ θερμὸν ἐστὶ τὸ ψυχρὸν ὥσπερ πάθη τινῶν εἶναι καὶ οὐκ ἀρχαὶ ἐστὶ δυνάμεις. ἀλλὰ δὲ ἐστὶν ἡ τῶν ἁπλῶν λεγομένων φύσις μικτή τις καὶ ὑπάρχουσα ἀλλήλοις. ὥσπερ γὰρ οὐδὲ τὸ πλεῖν ἄνευ ἀέρος, ἢ ὑγροῦ τινος καὶ γεώδους εἶναι δυνατόν, οὕτως οὐδὲ τὸ ὑγρὸν ἄνευ πυρός, οὐδὲ τὴν γῆν ἄνευ ὑγροῦ. σημεῖον δὲ, τὸ μὲν γὰρ πήγνυται διὰ τὴν ἔκθλιψιν. ἡ δ' οὐκ ἂν συμμένειν ἀπολειπομένου πάντη καὶ πάντως τοῦ ὑγροῦ. διὸ πάντα φαίνεται κοινὰ καὶ δεόμενα διορισμοῦ, πῶς ποτε χρὴ τὰ ἁπλᾶ λέγειν. τὰ δὲ τοῦ προτέρου μι-

χρόνον τὰ μέγιστ' ἔχει ζητήσεις ὥσπερ εἴρηται. ἐκεῖνο δ' ἐστὶν ἁπάντων φανερώτατον· ὡς ἡ τοῦ πυρὸς φύσις, ἰδιαιτάτας ἔχει καὶ πλείστας δυνάμεις καθάπερ ἐν ἀρχῇ τῶν λόγων ἐλέχθη. καὶ γὰρ αὐτὸ τὸ πολυειδὲς αὐτοῦ καὶ διειλημμένον ἐν ἅπασι τοῖς τόποις ἰδιότητα μηνύει φύσεως. οὐδὲν γὰρ δὴ τῶν ἄλλων ἐστὶν οὕτω πολυειδές, οὔτ' ἀνώμαλον ταῖς δυνάμεσιν, οὐδ' αὐτῇ τῇ φύσει διάφορον. ἔτι δ' ἐνίκον εἰς πάντας καὶ κατὰ μεμερισμένον τοὺς τόπους. ἀφέντας οὖν τὴν μείζω καὶ πρότερον, πειρατέον ὑπὲρ τῶν ἐλαττόνων λέγειν. ἀρξαμένους ἀπὸ τῆς γενέσεως αὐτοῦ καὶ φθορᾶς ἣν ὑφ' αὑτοῦ ποιεῖται. ληπτέον δὲ εἰς ταῦτα τὸ μικρῷ πρότερον εἰρημένον. ὃ καὶ τῇ αἰσθήσει φανερὸν ὡς ἐν ὑποκειμένῳ πως ἡ φύσις αὐτοῦ καὶ τὸ ὅλον ἀλλοιουμένῳ φησὶ πάσχει τι. τούτου γὰρ τεθέντος, ὁ λόγος ἤδη καὶ ἡ γένεσις καὶ ἡ φθορά. γεννᾶται μὲν γὰρ τῷ ἐπιπλέον ἀεὶ προϊέναι καὶ ἐξομοιούμενον. συμβαίνει δὲ καὶ ἀπόληψιν αὐτοῦ γίνεσθαί τινα, καταναλισκομένης αὐτῷ τῆς ὑγρότητος τῶν προτέρων πυρουμένων. φθείρει δ' ὅταν πλησίον τεθῇ τὸ πλεῖον τὸ ἔλαττον ἔτι τὴν τροφὴν ἀφαιρούμενον, ἔτι ἐξαιροῦν τὴν ἀρχήν. καὶ καταμαραῖνον τῷ ὑπερισχύειν. οὔτε γὰρ ἄνευ ὑγρότητος οὐδὲν καυστόν, ὅτι ταύτης ἐνυπαρχούσης. ἐὰν μὴ ἔχῃ δύναμιν τὴν ἐργασομένην. ὁμοίως δὲ καὶ ἡ ὑπὸ τοῦ πνίγεσθαι σβέσις. καὶ γὰρ ἐνταῦθα συναθροισθὲν τὸ τῷ ἀέρι ἔξω θερμὸν ἐκμαραίνει καὶ ξηραίνει τὴν ἀρχήν. ὥσπερ ἂν θλίψιν τινὰ ποιοῦσα καὶ ἀπόπνιξιν. διὸ καὶ οὐκ ἀπαθὲς τοὔνομα τοῦ καταπνίγεσθαι τὸ πῦρ. καὶ γὰρ ὅλως ὁ ἀὴρ πυκνωθεὶς δύναιτ' ἂν τροφὴ αὖ. καὶ πυρωθεὶς ἔτι μᾶλλον καὶ θᾶττον. διὰ τὰς αὐτὰς δὲ καὶ παραπλησίους αἰτίας καὶ ἐν τῷ ἡλίῳ τὸ πῦρ ἧττον καίεται, ἢ ἐν τῇ σκιᾷ. καὶ οἱ λύχνοι φαίνονται ἧττον καιομένου πυρός. καὶ ἀποσβέννυνται δ' ὅλως ἐὰν ὑπὲρ τῆς φλογὸς τεθῇ. καὶ γὰρ ἐνταῦθα καταμαραίνεται καὶ κωλύει τὴν ἀρχὴν τὸ πλεῖον. ἀντικείμενα δὲ τούτῳ διὰ τὴν αὐτὴν αἰτίαν, καὶ παρόμοια τὰ καιόμενα θᾶττον κατακαίεται χειμῶνος ἢ θέρους. ἀσθενέστερον γὰρ ποιεῖ τὸ πῦρ τὸ θέρος. ὥσπερ καὶ ὁ ἥλιος καὶ

Quo pacto maior ignis extingat minore



αὐτὸ τὸ πῦρ, τὸ φῶς. ὁ δὲ χειμὼν καὶ τὸ περιέχον καὶ τὸ τοῦ ἀέρος ψυχρὸν ἀθροίζει, συνηθροισμένον δὲ πᾶν ἰσχυρόν. διὸ καὶ ἐν ταῖς λαμπτῆρσι φῶς ἐπὶ πλεῖον φαίνεται. ὅλως δὲ συνεστηκυῖα καὶ ἀθρόα ἡ δύναμις ἰσχυροτέρα καθάπερ τοῦ βάρους. ὥσπερ γὰρ μεῖζον γίνεται. πολλὰ δὲ τοιαῦτα ἀπὸ τοῦ θερμοῦ λαβεῖν ἐστιν, οἷον καὶ τὰ ἐλλιπῆ εἶναι καὶ τὰ βαλανεῖα θερμότερα καὶ χειμῶνος ἢ θέρους. καὶ βορείοις ἢ νοτίοις. συνεστάλθαι δὲ ἐν τῷ χειμῶνι καὶ συγκατακεκλεῖσθαι τὸ θερμὸν ὑπὸ τοῦ περιέχοντος ἀέρος καὶ τὰ σώματα πέττειν τὰς τροφὰς μᾶλλον. καὶ ὅλως ἰσχυρότερα τοῖς χειμῶσίν ἐστιν. ὅτι συνήθροισται καὶ ἀντιπεριέστηκε τὸ θερμόν. ἐκ ταύτης δὲ τῆς αἰτίας καὶ τὸ ψυχρὸν ἐνιαχοῦ δοκεῖ τὸ αὐτὸ ποιεῖν τῷ θερμῷ καὶ ἀπολείπειν καὶ ταῖς ὑπερβολαῖς. πέττειν τε γάρ φασι τοὺς καρποὺς τὰ ψύχη καὶ ἀποκαίειν καὶ τὸ καῦμα καὶ τὸ ψῦχος οὐκ ἀληθῆ λέγοντος. ἀποκαίει γὰρ οὕτω καὶ πέττει τὸ ψῦχος, οὐ προηγουμένως ἀλλὰ κατὰ συμβεβηκός, ὅτι συστέλλει καὶ συνάγει τὸ θερμὸν ἐπὶ τὸ ἐργαζόμενον ἐκεῖνο, πλεῖον δὲ ὂν καὶ ἰσχυρὸν μᾶλλον ἐστίν. ἡ αὐτὴ δ' αἰτία καὶ ὅτι τοῖς λειποψυχοῦσι ψυχρὸν ὕδωρ προσχέουσιν ψυχροῦ τοῦ πάθους ὄντος. συνέχει γὰρ καὶ ἐξιέναι κωλύει τὸ θερμὸν ἐμφράττον τοὺς πόρους καὶ καταψῦχον τὸ περιέχον. ἀθροῖσαι γὰρ τοῦτο δεῖ καὶ ἀνακαλέσασθαι. διὸ καὶ κατέχειν τινὲς κελεύουσι τὸ πνεῦμα τοῖς ἐκλυομένοις. ἅμα γὰρ διαθερμαίνεται καὶ τὸ ἐντὸς καὶ ὁ ἱδρὼς ἐμπίπτων λύει τὴν λειποθυμίαν. ψύχει δὲ καὶ θερμαίνει τὸ ἐν τῇ σκιᾷ ἢ τοῖς ἡλίῳ διὰ τὸ ψυχρότερον εἶναι τὸ περιεστηκός. ἐκθλίβεται γὰρ μᾶλλον τὸ θερμόν. καὶ τὰ ἐκ τῆς γῆς δὲ θερμότερα τοῦ χειμῶνος ἢ τοῦ θέρους διὰ τὴν αὐτὴν αἰτίαν. ἔνια γὰρ καὶ ἀναζεῖ μᾶλλον. τὸ δὲ θερμαινόμενον ὕδωρ τοῦ χειμῶνος ὑπερζεῖ, καὶ τοῦ θέρους μᾶλλον θερμαινόμενον ὡς εἰπεῖν. ὅτι τὸ ὑπερζεῖν ἐστιν, ἐν ἀποβολῇ τῆς πομφόλυγος. αὗται δὲ τοῦ χειμῶνος αἱρεῖσθαι δύνανται διὰ τὴν ψυχρότητα τοῦ περιέχοντος ἀέρος. θλίβει γὰρ οὗτος καὶ ὥσπερ ἐπικόπτει. διὸ καὶ ταχὺ συμπίπτουσιν ἅμα, τῷ τε πλήθει καὶ τοῖς ὄγκοις ἐλάττους γίνονται. τοῦ δὲ θέρους ἀνάπαλιν.

Ἐλλιπεῖα

Cur hyeme simus edaciores

Antiperistasis

Cur hi qui animo linquuntur aspergi aqua solent

ὅτι δὲ ἰσχυρὸν εἰς τὸ ἀναπέττειν ἡ συναθροισις τοῦ θερμοῦ σημεῖον καὶ τὰ τηκόμενα καὶ τὰ ῥηγνύμενα τῶν ἐλατῶν καὶ χυτῶν, καττίτερον ἢ μόλιβδον ἤδη τακῆναι ἐν τῷ πόντῳ, πάγου καὶ χειμῶνος ὄντος μεγάλου· χαλκὸν δὲ ῥαγῆναι. τοῦτο δὲ δῆλον ὡς διὰ τὸ ἐμπνιγματωθῆναι τὴν θερμότητα συνειλουμένου καὶ συνιόντος τοῦ θερμοῦ, τὸ γὰρ πνεῦμα δυνατώτερον ποιεῖ τὴν ῥῆξιν. καὶ ὑπὸ χιόνος δὲ τῆς γῆς ἀμαξύμωσις, καὶ γένεσις ἐν αὐτῇ τῇ χιόνι ζώων ἐνίων, ἁπλῶς δὲ καὶ ἡ μεταβολὴ τῶν ἐν τῇ γῇ πάντων ἀπ' αὐτῶν ἀρξαμένοις τῶν ὑδάτων. ἐπεὶ καὶ ἡ ἀναθυμίασις καὶ ὁ ἀτμὸς πλείων οὐ μόνον διὰ τὸν ἀθροισμὸν τοῦ θερμοῦ, καὶ διὰ τὴν ἀντιπερίστασιν ἅμα καθυγραινομένης. ταῦτα μὲν οὖν φανερὸν ἐκ πολλῶν. ὅτι καὶ ἰσχύει μᾶλλον ἠθροισμένον καὶ ἀσθενέστερον γίνεται διακεχυμένον. ἓν δέ τι τῶν ὑπὸ τοῦτο καὶ τὸ διαμένειν ἔστι τὸ πῦρ ἐκρυφθέν. περιστέγει γὰρ ἡ τέφρα καὶ κωλύει τὸν ἀέρα τὸν ἔξωθεν προσπίπτοντα σβέννυσθαι, σβέννυσι γὰρ τὸ ψυχρόν, καὶ τὴν ἀπορροὴν μὴ γίνεσθαι τὴν τοῦ πυρός. καὶ γὰρ οὕτως ἐκμαραίνεται καταναλισκομένου τοῦ ὑγροῦ μὴ δι' αὐγὴν ἔτι σ' ἀέρ ἐστὶ συναθροίζεσθαι καθάπερ πρὸς τοὺς πνιγεῖς, ἀλλ' ἔχειν δίοδον ἱκανήν. τὸ δὲ δοκοῦν ὑπεναντίον εἶναι τούτῳ, διότι μὴ ἐκκοφθὲν θᾶττον φθείρεται μὴ ἀφαιρούντων τὴν τέφραν ἢ ὑφαιρούντων. οὐκ ἔστιν ὑπεναντίον. δεῖ γὰρ τὴν ὀλιγότητα τὴν αὐτῆς ἔτι κωλύειν δύνασθαι τὸν ἀέρα προσπίπτειν. ἔτι πάλιν εἰς τὴν ἀπορροὴν ἱέναι τοσαύτην, ὥστε μὴ γίνεσθαι καὶ κρατεῖν τοῦ προσπίπτοντος. ὅπερ εἰ γυμνὸν ἦν ἐποίει αὖ μᾶλλον, ὥστε εὐλόγως καταμαλίσκεται θᾶττον. φθοραὶ γὰρ πυρὸς πλείους ἡ μὲν ὥσπερ φυσική τις ἐξαναλισκομένου τοῦ ὑγροῦ καὶ ἁπλῶς τοῦ καυστοῦ· τότε γὰρ ὥσπερ φθίνει καὶ μαραίνεται. αἱ δ' ἐκ τῶν ἔξωθεν ὧν ἓν μέν τι γένος αἱ ὑπὸ τῶν ὁμογενῶν ἃς ὀλίγῳ πρότερον εἴπομεν. ἄλλαι δὲ ὑπὸ ψυχροῦ οἰκεῖαι μᾶλλον δόξαισαι τὸ ὑπὸ τοῦ ὁμογενοῦς. τὰ γὰρ ἐναντία φθαρτικὰ φύσει τῶν

ἐναντί· διὸ

In nive gigni quedam animalia

Antiperistasis

Cur ignis cinere opertus nō extinguatur



ἐναντίων. διὸ δὴ καὶ ἡ προσπίπτουσα ψυχρότης εἰς τὸ τετεφρωμένον πῦρ σβέννυσιν, ἤδη πώς τις καὶ θερμὴ καὶ ψυχρὰ οὖσα διαδοτικὴ καὶ καταφθείρει τὴν ἀρχήν, ἐπεὶ ἡ φύσις καυστικὴ καθάπερ ἤδη παρὰ πλειόνων περιεργέσα τῆς ἱκανῆς ἔτι τοῦ τε φλογώδους καὶ ὑπὸ πνεύματος μεγέθους. καὶ γὰρ οὕτως σβέννυται φθειρομένης ἡ οὐχ ὥσπερ κατισχυομένης τῇ μείζονι κινήσει. ἀλλὰ τρόπον τινὰ καταφθειρομένης, καὶ ἐνταῦθα τῆς ἀρχῆς. διὸ καὶ ὅταν ἐπιτεθῇ τι τοῖς λύχνοις ἧττον σβέννυνται, καὶ στεγνῶ ποιοῦσι τοὺς χαλκοῦς, οἷς αἴτιον τῶν λαμπτήρων τὸ ὅλον, οὐδὲ σβέννυνται πλὴν ἐὰν ἔκτοπόν τι γένηται πνεῦμα. ὑγρὰν ἔχοντες ὑδαμῇ παράδυσιν οὐχ ἅπτονται τῆς ἀρχῆς ὡς δ' ἂν αὐτὴ μένῃ καθάπερ ὕδατος πηγὴ μένει ἐὰν μὴ ἔχῃ μίαν ἀναπνοὴν διέξοδον. διὸ καὶ ἐν τῇ τέφρᾳ ἐγκρύπτουσι τοῦτο εὐλαβούμενοι. κωλυόμενον γὰρ ἀπορρεῖν αὐτὸ ἑαυτῷ θλίβεται. καὶ ἐάν τις καταθλίβῃ τὰς δᾷδας ἢ τοὺς ἄνθρακας, ὥσπερ καὶ τοὺς λύχνους ἀποσβεννύουσιν. ἐπεὶ καὶ ὁ ἐν τοῖς μεγάλοις λύχνοις διὰ τὴν αὐτὴν αἰτίαν σβέννυται, παχὺς γὰρ ὢν ὁ ἀὴρ καὶ ἀκίνητος οἷον καταπνίγει καὶ θλίβει. καθάπερ ἔτι στερεὸν οὐ δύναται διαβιάσασθαι τὸ πῦρ, κενὸν δὲ ζητεῖ πρὸς ὃ ἡ ἐν ᾧ ἡ φορά. διὰ τοῦτο δὲ καὶ τὸν πνιγμὸν ποιεῖ τοῖς ἐργαζομένοις ὁ ἀὴρ ὅτι παχύς τε ἠρεμῶν, οὐ γὰρ διαδίδωσι τὴν ἐκπνοήν. διὸ καὶ τὰ ψυχαγωγεῖα ποιοῦσιν ὅπως λεπτύνηται τῇ κινήσει, ἅμα μεταβάλλων διὰ χώραν. ὅτι δὲ ὁ παχὺς δύσπνους φανερὸν μὲν καὶ ἁπλῶς λεχθέν. οὐ μὴν ἀλλὰ καὶ ὁμιχλώδη καὶ θολερώδη διαμαρτυροῦσι. καὶ τούτων μὲν ταύτας ἄν τις ὑπολάβοι τὰς αἰτίας. ὅτι δὲ ἀρχὴ φθειρομένη κυριωτάτη πρὸς τὴν ζέσιν κἀκεῖθεν φανερόν. τὴν γὰρ πίτταν καιομένην τὸ μὲν ὕδωρ οὐ σβέννυσι, τὸ δὲ ἔλαιον σβεννύει, ὅτι διαλύεται λεπτότερον ὂν πρὸς τὴν ἀρχήν, καίτοι μάλιστα ἄκαυστον. ἀλλ' ὅτι ἂν ἀπολάβῃ ἡ θλίψῃ ταύτην ἔσβεσεν ὥσπερ ἡ τῶν λύχνων ἐπιρρυέν, πάλιν δὲ τὸ ὄξος σβεστικώτερον τοῦ ὕδατος

G H

ψυχαγωγεῖα qd in lucernis & cur fiant

Pix ardens nō extinguitur aq̄ sed oleo

διὰ τὴν αὐτὴν αἰτίαν θερμότατον ὂν τῶν λοιπῶν. εἰς δύο γὰρ μάλι-
στα τὸ πλεῖστον ὥστε διϊσταμένη τῆς ἀρχῆς. οὐ γὰρ ἡ ψυχρὰ σβέννυσι πάν-
τως τὸ ψυχρόν. τοῦτο δὲ δῆλον ὅτι καὶ τὸ ζέον ὕδωρ. ἀλλ' ἢ τὴν ἀρχὴν ἐ-
πικλείει καὶ καταλαμβάνει. συντιθέντα μὲν οὖν ἄμφω τὸ ὑγρὸν
καὶ τὸ ψυχρὸν μᾶλλον φθείρει. γίνεται γὰρ τοῖς ἐναντίοις ὑπὸ τῶν ἐναντίων
ἡ φθορά. τὸ γὰρ πῦρ θερμὸν καὶ ξηρόν. οὐ μὴν ἀλλὰ καὶ χωριζόμενον
ἑκάτερον φθαρτικόν. ὁ μὲν γὰρ ἀὴρ ἢ ψυχρὸς σβέννυσι. τὸ δὲ ὕδωρ ἢ
ὑγρόν. ἀλλ' αὗται μὲν ἐοίκασιν ὥσπερ φυσικαί τισι τῶν ἐναντίαις ὑπὸ
τῶν ἐναντίων γινόμεναι. ἡ δὲ ἐφ' ἑαυτοῦ καθάπερ ἡ παρὰ φύσιν. οὐκ οὖσα
δὲ παρὰ φύσιν, τὸ τὴν ἐλάττω κρατεῖσθαι δύναμιν ὑπὸ τῆς μείζο-
νος. φθείρεται δὲ καὶ τὰ οἰκεῖα φθαρτικὰ ταῖς ὑπερβολαῖς. ἐπεὶ μέ-
χρι γε τούτου καὶ συναύξει, λαμβάνοντα συμμετρίαν. οἷον τὸ μὲν
ὑγρὸν αὐτὸ καιόμενον. τὸ δὲ ψυχρὸν συνθλῖβον ἰσχυρότερον ποιεῖ. τὸ
δὲ πνεῦμα τῇ κινήσει συνεκκαίει καὶ ζωπυρεῖ. διὸ καὶ οἱ λύχνοι
πλεῖον ἔλαιον ἀναλίσκουσιν ἐν τοῖς πνεύμασι. καὶ τὰ ξύλα θᾶττον
κατακαίεται σφοδροτέρας καὶ πλείονος τῆς κινήσεως γινομένης. καὶ δὲ μεί-
ζων καὶ ἀσύμμετρος ἀπέσβεσε. καὶ διὰ τοῦτο μὲν λύχνος ἀποσβέννυται
φυσώμενος. τὰ δὲ ξύλα καὶ οἱ ἄνθρακες ἐκκαίονται. τὸ μὲν γὰρ οὐκ ἔστι
σύμμετρον πνεῦμα λαβεῖν, ἅμα δὲ καὶ εὔκαυστον, ἔχον τὸ πῦρ οὐ
μόνον ἐνδεῖται φλέξωθεν προσβολῆς. τότε γὰρ ἐλλύχνιον ἅτε μανὸν καὶ
ξηρὸν ἐφέλκεται τὴν ὑγρότητα, καὶ τὸ ἔλαιον αὐτὸ καιόμενον. ὁ δ' ἄνθραξ
καὶ τὸ ξύλον οὐ δύναται καίεσθαι μὴ φυσώμενον, διὰ τὸ γεῶδες καὶ στερε-
όν. οἱ γὰρ πόροι πυκνοὶ τῶν τοιούτων πάντων, οὐ διοίγει καὶ ποιεῖ ὥσπερ πυ-
εῖ τὸ πνεῦμα. καὶ ὅσῳ ἂν πλείω καὶ ἐλάττω μεμερισμένα πρὸς τὸ
πλεῖ μᾶλλον. διὰ τοῦτο καταμιγνύντες τοὺς ἄνθρακας ἐνίοτε καὶ προ-
σάγοντες ἀλλήλοις φυσῶσιν. ἐκ μικρῶν γὰρ συνιόντων ὥσπερ
ναματίων καὶ ἡ φλὸξ γίνεται καὶ τὰ πυρεῖα τρίβεται. τὸ αὐ-
τὸ τοῦτο ποιεῖ καὶ τοῖς ξύλοις ὑπεκκαύματα λεπτὰ λαμ-
βάνοντες. φυσῶσι τοὺς ἄνθρακας. καὶ αὐτὸς δὲ ὁ ἄνθραξ φυ-
σώμενος μᾶλλον καὶ θᾶττον ἐκκαίεται καθάπερ ἐν τοῖς χαλ-

κείοις

Aer q[ui] frigidus extinguit ignem

ἐλύχνιον



κείοις. τοῦτο μὲν οὖν οὐκ ἂν ἀλόγως δόξειε συνεργεῖν πνεύματι.
καὶ γὰρ τὸ πῦρ οἷον πνεύματός τις φύσις. ἐπεὶ δὲ πλείω καὶ ἀεὶ
διαφέροντα τὰ καυστὰ καὶ πυρωτά, διὰ τοῦτο καὶ αἱ δυνάμεις
αὐτῶν θάτεροι. καὶ οὐχ ἅπερ θάτερον δύναται καὶ θάτερον ποι-
εῖν. οἷον ὁ ἄνθραξ οὐ φωτίζει ὥσπερ ἡ φλόξ. οὐδ' αὕτη καὶ ὁ λύ-
χνος ὁμοίως, οὐδ' αὖ οὗτος τὴν καίων, καὶ αὔων. ἀλλ' ὅσῳ δὴ καθαρωτέ-
ρα, τοσούτῳ μᾶλλον οὐκ ἔχουσα γεῶδες, οὐδὲ ὑδατῶδες, οὐδὲ ἐν
αὐτῇ τὸ ἀντιφράττον ἐξ ὧν ὁ καπνὸς καὶ ἡ ἀναθυμίασις. διὰ
τοῦτο γὰρ καὶ ἡ τῶν χλωρῶν ἐρυθροτέρα φλόξ, ἢ τῶν ξηρῶν, ὅτι
πλεῖον ἔχει τὸ τοιοῦτον. διὸ οὐ διαφαινομένη λαμβάνει τὴν χροι-
άν, ὥσπερ καὶ ὁ ἥλιος ὅταν ᾖ παχὺς ὁ ἀήρ. ὁ δ' ἄνθραξ οὐδὲ ποιεῖ
φλόγα πλὴν ὀλίγην διὰ τὸ μὴ ἔχειν τὴν ἐξαιρουμένην πολλὴν
ὑγρότητα, πυρουμένη αὕτη ἡ φλόξ. οὔσης δὲ τῆς εἰρημένης
ἀνωμαλίας εὔλογον ἤδη καὶ τὸ θερμαίνειν ἔνια μᾶλλον καὶ
θᾶττον ὄντα θερμά καθάπερ ἡ τοῦ καλάμου φλόξ καὶ τὸ ὕδωρ
καὶ τοὺς ἀνθρώπους τῆς ἀπὸ τῶν ξύλων. καίτοι θερμότατόν
γε πῦρ ὅλως τὸ ἀπὸ τῶν στερεωμάτων. ὁ δ' ἄνθραξ ἥκιστα θερ-
μαίνει στερεώτατος ὤν. καὶ τὴν μὲν τοῦ ἡλίου θερμότητα με-
λαίνειν τὰ σώματα. τὴν δὲ τοῦ πυρὸς μή. πάντων δὲ τούτων
καὶ τῶν τοιούτων αἰτιάσαιτ' ἄν τις τὴν λεπτότητα καὶ τὴν πα-
χύτητα. θερμαίνει τε γὰρ τὴν σάρκα καὶ τὸ ὕδωρ ἡ τῶν καλά-
μων τάχιστα, διὰ τὴν λεπτότητα καὶ πυκνότητα. λεπτὴ μὲν
γὰρ ὅτι κοῦφος, συνεχὴς δέ, ὅτι πυκνή. τὸ δὲ λεπτὸν διαδοτικὸν,
καὶ τὸ θερμαίνεσθαι διὰ τὴν συναφὴν καὶ κατάμιξιν. ἥ τε φλὸξ
ὅλων τῶν ἀνθράκων μᾶλλον διὰ τοῦτο, καὶ ἅμα πλείων ἡ ἀ-
πορροὰ, ἀθροωτέρα. τὸ δ' ὅλον οὐ διὰ τῶν αὐτῶν ἴσον ἑκάτερον θερ-
μαντικόν. εἰ δὲ μὴ ὡς οὐχ αὕτης γ' ἔχων, οὐδὲ ὁμοίως ἑκάτερον.
ἀλλ' ἄνθραξ μὲν ὁ στερεώτατος. φλὸξ δὲ λεπτοτάτη καὶ πυ-
κνοτάτη. θερμαίνει μὲν γὰρ ἡ φλόξ, διὰ ταῦτα μᾶλλον ἔνια.
κατακαίει δὲ πάλιν οὐχ ὁμοίως ὅτι λεπτοτέρα. καὶ ἀσθενε-

στερά· τὸ γὰρ ἐν τῷ γεώδει καὶ στερεὸν πῦρ θερμότατον· ὅτι ὀρθὸν ὁμοίως ἀλλ' ἀπεστεγασμένον ὑπὸ τῆς θερμότητος ἔχον τι τὸ καυστικὸν σῶμα· τὸ δὲ στερεὸν διὰ τὴν πυκνότητα καὶ σκληρότητα τὰ πυρωθέντα, καθάπερ σίδηρος, χαλκός, λίθος, ὄστρεα κενὰ τῇ φύσει σχεδὸν ψυχρότατα. στέγει γὰρ ἐν αὐτοῖς μάλιστα καὶ τηρεῖ καὶ τὸ θερμόν· ὥστ' εὐλόγως καυστικώτατα τῆς σαρκός. ἅμα δὲ καὶ ἡ τῆς φλογὸς φορὰ ποιεῖ τινα παραλλαγήν· διὸ καὶ οἱ κινοῦντες ἐν τῇ φλογὶ τὰς χεῖρας ὀξέως οὐ κατακαίονται. θᾶττον γὰρ ἡ κίνησις τῆς χειρὸς οὖσα, καὶ ἅμα μεταλλάττουσα τὰ μέρη κωλύει τὴν κατάκαυσιν· οὐ γὰρ καίει μὴ ἐπιμεῖναν τι τὸν αὐτὸν χρόνον. διὰ τοῦτο καὶ οἱ ἐν τῷ ἡλίῳ βαδίζοντες ἧττον καίονται τῶν καθημένων, καὶ οἱ τρέχοντες ἔτι τούτων, ἅμα δ' ἴσως τούτοις δὲ καὶ ἡ ἀπὸ τῆς κινήσεως τοῦ ἀέρος γινομένη ποιεῖ τινα κατάψυξιν. ἔχει δὲ καὶ πρὸς τὰς τήξεις καὶ πρὸς τὰς ἑψήσεις καὶ τὰ ἄλλα τὰ τοιαῦτα μεγάλας ἕκαστα πρὸς τὰ ὑποκείμενα διαφοράς· οἱονόπως μαλακῆς ἡ θερμότητος ἢ μὴ σκληρᾶς, ἢ πάλιν ὀξείας καὶ σφοδροτέρας καὶ ἀθροωτέρας. ἀπὸ μὲν μαλακῶν καὶ μανῶν μαλακώτερον τὸ θερμόν· ἀπὸ δὲ τῶν σκληρῶν καὶ πυκνῶν σφοδρότερον. διὸ καὶ οἱ ἰατροὶ τοὺς ἥλους καίουσι τῶν ουσῶν· μαλακωτάτη γὰρ ἡ ἀπὸ τούτου θερμότης. ὁμοίως δὲ καὶ ἐν ταῖς πυριάσεσι καὶ τοῖς ἀλείμμασιν· ἀπὸ τοιούτων γὰρ ζητοῦσι τὰς θερμότητας σχεδόν. ὁμοίως δὲ καὶ ἄλλαι τέχναι κατὰ λόγον· αἷς μὲν ὥσπερ βιαιοτέρα τὶς χρῆσις, ὥσπερ τῇ χαλκευτικῇ τὴν σφοδροτάτην. διὸ καὶ τοὺς ἄνθρακας τοὺς γεωδεστέρους καὶ πυκνοτάτους λαμβάνουσι, καὶ ἐνίους γε τι προσραίνουσιν ἕνεκα τῆς ἰσχύος· καὶ ἔτι ταῖς φύσαις χρῶνται· σφοδροτέρα γὰρ οὕτως ἡ θερμότης καὶ ἀθροωτέρα συνεκκαίοντος τοῦ πνεύματος. ἐν τούτῳ δ' ἴσως τῷ γένει κἀκεῖνο τὸ ἀπορούμενον· ὅτι ὁ μὲν ἥλιος μελαίνει τὴν σάρκα, τὸ δὲ πῦρ οὔ· συμβαίνει γὰρ τὴν μὲν τοῦ ἡλίου

θερμότητα

Cur sol nigras reddit carnes · ignis no reddat · querit hoc etiam aristoteles in problematis



θερμότητα λεπτὴν οὖσαν καὶ μαλακὴν εἰσάγεσθαι κατὰ μικρὸν εἰς τοὺς πόρους· καὶ ὥσπερ ἀναθυμίασιν καὶ ἐπικαίειν τὰ ἐπιπολῆς. διὸ καὶ ἄλυπος ὡς τὸ ὑπομένειν· τὴν δὲ τοῦ πυρὸς παχυτέραν καὶ σφοδροτέραν οὖσαν διαθερμαίνουσαν μᾶλλον· παραχρῆμα μὲν ἀνιόντος τοῦ αἵματος ποιεῖν ὤχροιαν· ὕστερον δ' οὐ διαμένειν. οὐ μὴν ἀλλ' ἐάν τε τούτων σφοδρότερον χρήσηται καὶ κατακαύσει μελαίνει· μέλανα γὰρ τὰ πυρίκαυστα καὶ ὅλως τὰ κατακαιόμενα. διὸ καὶ αἱ φωκαΐδες ἔχουσιν ἐνιαχοῦ τοιαύτην τινὰ χρόαν, ὥσπερ ἀποσβεννυμένου τοῦ πυρὸς καθάπερ ἐν τοῖς ἄνθραξιν. οὐδὲν γὰρ μέλαν ἄνευ ὑγρότητος. ἀλλ' ὅτι ἐκκαυθῇ πάντα λευκὰ καὶ τεφρώδη, καθάπερ καὶ τὰ ὀστᾶ. τὸ δ' ἐπὶ τοῦ κεράμου λεγόμενον, ὅτι μελαίνει τὸ πῦρ τὴν σάρκα μὴ μελαῖνον, ἢ οὐκ ἀληθές, ἢ οὐχ ὅμοιον. μίξει γάρ τινι μελαίνει τὸν ἄσβολον καὶ τὸν καπνὸν ἀναφέρων ὥσπερ καὶ τὰ ξύλα καὶ τὸν κέραμον καὶ τοὺς τοίχους. ἐπεὶ καὶ τοὺς ἄνθρακας τρόπον τινὰ παραπλησίως· ἐγκαταδύεται γὰρ ὁ καπνὸς ἀναφέρων πολὺ γεῶδες. ἅμα δὲ καὶ ἡ ὑγρότης οὐ πᾶσα ἐκκαίεται διὰ τὸ μὴ ἰέσθαι· καὶ διὰ τοῦτο βαρύτεροι τῶν ἄλλων εἰσίν. ἀναφερομένης γὰρ τῆς τοιαύτης ἀναθυμιάσεως ἕλκεται τῇ πνοῇ καὶ εἰσδύεται πόρρω· διὸ καὶ βαρύνει τὴν κεφαλὴν καὶ ὅλα τὰ σώματα. τούτων μὲν οὖν ταύτας τὰς αἰτίας ὑποληπτέον. ἐὰν δὲ ὅλως ἐν ἑτέροις γένεσι τιθῇ τὸ θερμὸν οἷον ὑγρῷ καὶ ξηρῷ πλείων ἔτι γίνεται διαφορά, πολλὰ γὰρ οὐ δύναται ποιεῖν ἑκάτερον ὧν θάτερον οὐκ ἀσθενέστερον ἔχειν δοκεῖ τὸ θερμόν· οἷον τὸ ὕδωρ ζέον θερμότερον, ὂν κατὰ τὴν ἁφὴν οὐχ ἧττον τῆς φλογός, οὐ τήκει ταχὺ καὶ πάλιν τὸ πῦρ οὐ δύναται κατὰ μικρὸν ἐξάγειν τὸ ὑγρόν. οὐδὲ συνιέναι καὶ παχύνειν, ἀλλὰ διὰ τὴν ξηρότητα πυκνοῦν τὰ ἔξω πέρας διάκμυσιν ὥσπερ τὰ ὠά. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐάν τι ἄλλο δέῃ μαλακῇ θερμότητι πέττειν ἢ παχύνειν, ἡ δὲ ὑγρότης ὥσπερ μαλάττει πηγνυμένη. διὰ τοῦτο καὶ ὅταν περιέξῃ ὁ ἀήρ, κατακαίει τὰ ὀπωρικά. καὶ ὅπου φύσει τοιοῦτος ἀεὶ τοῦτο συμβαίνει πλεῖον, ἐὰν μὴ τὸ ἔδαφος βοηθῇ διαρρεῖ, καὶ τὴν ἰκμάδα παρέχον, ἢ δρόσοι

φωκαΐδες

Quo pacto ignis atras faciat res quas combu rit

Carbones cur aggravent caput & corpora tota

πίλωσιν, ὅτι ἅμα ξηρότητι λαμβάνειν καὶ πέψιν. εἰς μὲν οὖν τὰ τοιαῦτα χρήσιμος, πλὴν ἐν ὑγρότητι καὶ μεθ' ὑγρότητός τινος τὸ θερμόν. εἰς δὲ τὰς τήξεις τὸ ὑγρὸν ἀχρεῖον. αἴτιον δ' ὅτι τὸ τηκτὸν ὕδατος ὄν, φύσει ξηρᾶς δεῖται θερμότητος εἰς τὴν διάχυσιν. τὸ γὰρ ὅμοιον ὑπὸ τοῦ ὁμοίου ἀπαθές. ἅμα δὲ καὶ ἡ ἀσυμμετρία τῶν πόρων ἐναντιοῦται πρὸς τὸ μὴ δέξασθαι. μεγαλομερὲς γάρ. οὐχ οἷόν τε δ' αὖ τοῦ ὑγροῦ χωρισθὲν εἰσιέναι τὸ θερμόν, ἔτι δὲ ἀσθενέστερον ὥστε διοῖξαι τοὺς πόρους πυκνοὺς καὶ συνεχόντων τῶν ἔξωθεν. διὰ δὴ τοῦτο ἡ ξηρὰ θερμότης ἁρμόττει πρὸς τὰς τήξεις. καὶ αὕτη λαμβάνουσα τὴν ἀσυμμετρίαν. εἰ γὰρ πλεῖον ἐκκαίει, τὰ δὲ καὶ ὅλως κατακαίει πρὶν εἰς διάλυσιν ἀγαγεῖν. ἵνα δὲ τοσαύτης δεῖται θερμότητος, ἡ ἐν λεπτοτέρῳ γίνεται τοῦ ὕδατος, ὥσπερ τὰ λῖνα, καὶ οἱ στήμονες οἱ ἑψημένοι. οὗτοι γὰρ ἀτμῷ ταῦτα διαθερμαινόμενα λαμβάνει τὴν ἕψησιν ἐγκαταμιγνυμένου ἅμα τῆς ἰκμάδος. ὃ καὶ χρήσιμον πρὸς ἰσχύν. ἔνια δὲ τῶν βρωτῶν οὕτως ἕψεται διαφυλάττειν βουλομένων τῶν ὑγρῶν. ὅθεν οὐ κακῶς κεῖται τοὔνομα τὸ πνίγειν. ἐγκατακλείουσι γὰρ περιπωμάζοντες καὶ πλάττοντες τὴν ἀτμόν, ὥστε τρίτη τις ἀπόστασις ἀπὸ τοῦ πρώτου αὕτη καὶ γένεσις. τὸ μὲν γὰρ ὑγρὸν ἀπὸ τοῦ ξηροῦ γίνεται θερμόν. τοῦτο δὲ ἀπὸ τοῦ ὑγροῦ. πλὴν ἐκεῖνο μὲν μιγνύμενον πῶς τοῦ πυρός. τοῦτο δὲ δι' ἐκκρινομένου καὶ ἀπιόντος. ἡ δὲ τοῖς ἐμψύχοις σώμασιν ἐνυπάρχουσα θερμότης πλείοσι μιγνυμένη, καὶ τρόπον ἰδιώτερον. οἷον ἡ ζῶσα καὶ γόνιμος ἤδη γίνεται τῶν ὁμοίων. ἔτι δὲ προτέρα ταύτης ἡ ἀπὸ τοῦ ἡλίου. καὶ γὰρ αὕτη γόνιμος ζώων καὶ φυτῶν, οὐκ ἄμικτος μὲν οὖσα τῷ ἀέρι, μᾶλλον δὲ ἐν αὐτῷ τούτῳ γινομένη, συμμετρίαν δέ τινα ἔχουσα τῇ μαλακότητι καὶ λεπτότητι πρὸς τὸ γεννᾶν, οὐχ ὥσπερ ἡ τοῦ πυρὸς σκληρὰ καὶ περικαής. διὸ καὶ σπέρματα πυρωθέντα μὲν ἀβλαστεῖ, θερμαινόμενα δ' ὑπὸ τοῦ ἡλίου καθ' ὑπερβολήν. ἔνιοι δὲ γάρ φασι περὶ Βαβυλῶνα καὶ ἔτι τοὺς θερμοτέρους τόπους καὶ πηδᾶν ὑπὸ τῷ ἡλίῳ, καθάπερ τὰ φρυγόμενα, [illegible] καὶ βλαστάνει. τὸ μὲν οὖν πῦρ ὡς θερμότητι καὶ τοιαύτας ἔχει διαφοράς. ἔτι καθ' αὑτὰ καὶ μετ' ἄλλων καὶ ἐν ἄλλοις μιγνύμενον, ἐκ ταύτης δ' ἐπὶ τὰς αἰτίας καὶ ἐκεῖνο λύεται τὸ

ποτὲ μὲν

τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου ἀπαθές

Cur semina tosta igne nō germinent



ἀπόρημα, διὰ τί ποτε ἡ μὲν κοιλία τήκει τὰ νομίσματα, τὸ δὲ ὕδωρ ζέον θερμότερον ὂν οὐ τήκει. καὶ γὰρ ὅλως τὸ ὑγρὸν ὥσπερ ἐλέχθη κωλυτικὸν τήξεως. καὶ ἅμα διὰ τὴν μαλακότητα καὶ μεγαλομέρειαν οὐ δύναται τέμνειν, οὐδὲ διοίγειν τοὺς πόρους. ἡ δ' ἐν τῇ κοιλίᾳ θερμότης ξηροτέρα καὶ γεωδεστέρα διακρινομένου καὶ ὑπονοοῦντος ἀεὶ τοῦ ὑγροῦ πρὸς τὴν κύστιν. καὶ πάλιν διὰ τί τὸ μὲν ἐν πυρὶ κατακαόμενον νεκρὸν γίνεταί τι λείψανον, ὁ δὲ κύκλῳ λίθος ἐξ οὗ τοὺς σωροὺς ποιοῦσι, καὶ ὅπου ἀγοθι-ριοῦ ἀφανίζει πάντα καὶ ἐν ἑαυτῷ τέφραν ποιεῖ. διαφέρει γὰρ καὶ ἐνταῦθα ἡ θερμότης. ὅτι μὲν γὰρ ὁ λίθος ἐργάζεται τῇ θερμότητι καὶ τῇ φύσει θερμὸς ὤν, σημεῖον τὸ γίνεσθαι κονίαν ἐξ αὐτοῦ. τῷ δὲ θερμότερον τὸ διαιρεῖν ταχύ τε καὶ εἰς λεπτά. ταχὺ μὲν γὰρ τὸ θερμότερον καὶ κινητικώτερον οἷον ἡ φλόξ. εἰς δὲ μικρὰ τὸ λεπτομερέστερον, διὰ τὸ πάντη παραδύεσθαι. τοιοῦτον δὲ τὸ ἐν τῷ λίθῳ θερμόν. ἐπεὶ ποιεῖ γε τοῦτο καὶ ὁ ἀὴρ ὁ ἐγκατακλειόμενος ἐν ταῖς θήκαις καὶ διαλύει πάντα εἰς τέφραν, ἀλλὰ χρονιώτερος θερμανθείς. ἡ δ' ἐν τῷ λίθῳ θερμότης τῆς μὲν τοῦ πυρὸς ἀσθενεστέρα, λεπτοτέρα δέ, τῆς δὲ τοῦ ἀέρος τοῦ συγκλειομένου θερμοτέρα, λεπτὴ δ' ἧττον. ὥστε τοῦ μὲν θᾶττον, τοῦ δὲ λεπτότερα διαιρεῖν χρονιώτερον. ἐπεὶ δὲ τὸ σωματωδέστερον καὶ πυκνότερον πυρωθὲν θερμότερον διὰ τοῦτο τόπου παχὺς καὶ θολερώτερος ὁ πάγη καὶ καύματα μᾶλλον. ὡς ἔνιοι ψυχρότατοι καὶ καυματωδέστατοι. πυρωθεὶς γὰρ ὁ ἀὴρ κατέχει ἐν ἑαυτῷ διὰ τὴν παχύτητα τὸ θερμόν, ἐκ πυροῖ τὸν τρόπον. ὡς ἐπὶ τὸ πολὺ δ' οἱ τοιοῦτοι καὶ πνοιοί. ἐὰν δὲ καὶ ἐπιπέσῃ πνεῦμα θερμὸν ὄντα τὸν ἀέρα προσφέρον καίεται. διὰ τὴν αὐτὴν δ' αἰτίαν καὶ τῶν ἑψομένων τὰ παχύτερα θερμότερα, καθάπερ τὸ γάλα, καὶ ὅλως τὰ ῥοφήματα τοῦ ὕδατος. καὶ ἐὰν ἐπιβάλῃ τι ἐπὶ τὸ ὕδωρ θερμαίνεται θᾶττον ἢ ψιλόν. οἷον γὰρ ἀντιφράττει καὶ κωλύει διατμίζειν ἔξω τὸ θερμόν ὥσπερ τὰ ἐπιπωματιζόμενα. καὶ ἅμα δὴ θερμανθέν τι θερμαίνει. πᾶν γὰρ ἔχον πυκνότητα δύναται ποιεῖν τοῦτο διὰ τὸ κατέχειν. ὅλως γὰρ ὁ πολλάκις λέγεται τὸ μὲν ἐν λεπτῷ καὶ ῥέον αὐτὸ καὶ μὴ μένον, ἔτι δὲ

διὰ τί ποτε ἡ μὲν κοιλία τήκει τὰ νομίσματα τὸ δὲ ὕδωρ ζέον θερμότερον ὂν οὐ τήκει

κύκλῳ λίθος ἐξ οὗ τοὺς σωροὺς ποιοῦσι

μικρομερὲς ὂν οὐχ ὁμοίως καίεται. τὸ δ' ἐναντίως ἔχει τούτῳ διὰ τὸν ἀθροισμὸν καὶ μᾶλλον καὶ ἰσχυρότερον γίνεται καὶ χλωριώτερον. τῆς δὲ φλογὸς λευκοτάτη ἀεὶ καὶ καθαρωτάτη τὸ μέσον. τὸ δὲ κάτω καὶ τὸ ἔσχατον ἐρυθρᾶς καὶ μελανοῦται μᾶλλον. ἐμφαίνεσθαι δὲ τοῦτο μάλιστα ἐπὶ τῶν λύχνων, ὅτι ἀμιγέστατον τοῦτο τῇ ἀναθυμιάσει. τὸ μὲν γὰρ πρὸς αὐτῇ μίξει καὶ τοῖς λύχνοις ἅτε ἐπὶ τοῦτο φερομένης τῆς ἀναθυμιάσεως εὐλόγως μελαίνεται μᾶλλον. εἰς δὲ τὸ ἄκρον οἷον συρροὴ γίνεται καταλήγοντος ἤδη ἅμα προσεπιλαμβάνοντος τοῦ μέρους. ἄνω γὰρ ἡ ἰσχὺς πᾶσα καὶ ἡ φορὰ τῆς φλογός. διὸ καὶ ὁ καπνὸς ταύτῃ μάλιστα φέρεται. τάχα δὲ κἀκεῖνο οὐ κακῶς, εἰ μὴ ἄρα καὶ ἀληθέστερον. ὡς ὅτε μὴ γίνεται οὔπω οὐδέν, ὅτε εἰ φθείρεται ὅμοιον. ἔστι δὲ κάτωθεν μὲν γίνεται. ἄνωθεν δὲ φθείρεται ὑπὸ τοῦ ἀέρος. τὸ δὲ μέσον οἷον καθαρὸν καὶ εἰλικρινές. διὸ καὶ ταύτῃ μὲν οὐ διορᾶται. τὰ δ' ἄνω κωλύει διά τε τὸ εἰς ὀξὺ συνήκειν καὶ διὰ τὴν κίνησιν. ἀπορεῖται δὲ τοῦτο, διὰ τί ποτε τῆς φλογὸς τὸ σχῆμα πυραμοειδές ἐστι, ὡς φησὶ Δημόκριτος μὲν περιψυχομένων αὐτῆς τῶν ἄλλων εἰς μικρὸν συνάγεσθαι καὶ τέλος ἀποξύνεσθαι. ἕτεροι δέ τινες τῶν παλαιῶν ὑπὸ τῆς τοῦ προσπίπτοντος μέρους πνεύματος κινήσεως περισχίζεσθαι. τότε γὰρ ἐπάνω τῆς φλογὸς ἀσθενέστερον εἶναι καὶ ἐν πλείστῃ κινήσει ἀεὶ περιψύχει καὶ διὰ τὴν τοῦ προσπίπτοντος πνεύματος κίνησιν. εἰ γὰρ τὸ περιψύχειν ἰσχύσαι δεῖν ὡσαύτως γίνεσθαι, οὐδ' ὁποτέρου τῶν δύο, καὶ μᾶλλον ὑπὸ τῆς κινήσεως ἢ περιψύξεως ἀποξύνεσθαι. γελοῖα δὲ ὅλως καὶ τούτοις ἡ τοῦ προσπίπτοντος ἀέρος κίνησις. ὑφ' αὑτοῦ γὰρ κινεῖται τὸ πῦρ καὶ μᾶλλον κινεῖ τὸν ἀέρα ἢ ὑπ' ἐκείνου κινεῖται ἔξωθεν, ἐπεὶ καὶ εὐδίας οὔσης οὐδὲν ἧττον ἡ ὀξύτης τῆς φλογός. ἔτι δ' ἄχρι τοῦ ὁ περὶ συρμοῦ ὥσπερ κούφων τινῶν καὶ ἐπιπολαίων ὄντων. χρὴ τὰ τούτων πάντα χόθεν ὁμοίως συμβαίνειν τοῦ πνεύματος ὄντος μείζονος μᾶλλον. νῦν δὲ ἐν ταῖς ἀπνοίαις

διὰ τί τῆς φλογὸς τὸ σχῆμα πυραμοειδές. pulchrū

Democrit⁹

+ δῆλον ὅτι μὲ...



ταῖς ἀπνοίαις ἀποκορυφοῦται μάλιστα ἡ φλόξ. ἅτε καὶ οὐ κωλυομένη ὑπὸ πνεύματι ἀποδιακωλύει τὴν εἰς ὀρθὸν φοράν, ἀλλὰ περικλαῖ ὡς μετεωρίπτειν. τοῦτο μὲν οὖν πρὸς τὸ μὴ ἀληθές. οὐδὲ ἔχειν συνετόν. εἰ δὲ ἐν φορᾷ τινι καὶ ῥύσει τὸ πῦρ. ἀεὶ δὲ τῶν ῥεόντων εἰς ἔλαττον ἡ ἀποτελεύτησις. μὴ γινομένης ἄλλοθεν ἐπιρροῆς ἀναγκαῖον εἰς τὸν πλείω χρόνον διατεινόμενον καὶ τὸ συνεχὲς διατηροῦν ἀποστενοῦσθαι μᾶλλον. ὥστε τοῦτο ἂν εἴη καὶ τῆς φλογὸς αἴτιον εἰς τὸν σχηματισμόν. ἡ γὰρ ἀρχὴ κάτωθεν ἰσχυροτάτη καὶ πλείστη. μετὰ δὲ ταῦτα ἐλάττων ἀεὶ καὶ ἀπολήγουσα ἀσθενεστέρα. διασώζουσα δὲ τὸ συνεχές. ὅθεν καὶ ἐπὶ τῶν ὑδάτων γίνεται. καὶ γένοιτο ἂν εἰ μὴ παρεμπίπτειν ἔξωθεν ἑτέρα ῥέεθρα. πολλῆς γὰρ οὔσης ἀθρόας τῆς πηγῆς τὸ ἐγγύτατον πλεῖστον. εἶτα ἐλάττω ἀεὶ τὸ ἔλαττον. τέλος δὲ ὑπολείπειν ἐὰν μὴ τοῦ τόπου ἔγκοιλος ὢν ἢ ἄλλως ἀνώμαλος ἀθροισμὸν ἢ διάχυσιν εἰς πλείω ποιήσει. τοῦτο δὲ ἐπὶ τοῦ ἀέρος, καὶ τῆς φλογὸς οὐκ ἔστιν ὁμοίως γὰρ ὁμαλής. ἡ δὲ φλὸξ οὐ δι' αὐτῆς φέρεται, ἀλλὰ διὰ τὴν τῶν τόπων ἔγκλισιν. ὅμοιον δὲ καὶ οὐχ ἧττον ἴσως οἰκεῖον τῷ ἐπὶ τῶν φυτῶν. ἡ γὰρ φυτῶν ἡ αὔξησις εἰς λεπτὸν ἀνήκει καὶ εἰς ὀξὺ ἡ τοῦ θερμοῦ φορὰ γινομένη μέχρι ὅταν ἀρχὰς ἑτέρας ἀναλαμβάνοντα ποιήσηται τὴν ὄζων καὶ κλάδων ἔκφυσιν, εἰ δὲ ἄρα καὶ τὸ περιέχον κωλύει τι καὶ ἀφαιρεῖται καθάπερ εἰκός. οὐχ ἧττον κινούμενον ἀλλ' ἢ ψυχθέν. τοῦτο δ' ἄρα πλείω διαφαιρεῖται καὶ μᾶλλον ἐνισχύει, δῆλον ὅτι τοῦ ἀσθενεστέρου καὶ πορρωτέρω διατεινομένου. καὶ περὶ μὲν τοῦ σχήματος ἱκανῶς εἴρηται. φθοραὶ δὲ γίνονται πλείους τοῦ πυρός. πειρατέον δ' εἰς ἑκάστου τούτων ἀνάγειν κατὰ μέρος, οἷα καὶ τὰ τοιάδε. διὰ τί τὰς σάρκας καίοντα τὴν κοιλίαν οὐ καίει, οὐδὲ τὰ στόματα ὁμοίως. διὰ τί δὲ τοὺς λύχνους τινὲς εἰς τὰ στόματα λαμβάνοντες ἀποσβεννύουσι καὶ οὐ καίονται. διὰ τί δὲ τοῖς διαπύροις ὀβελίσκοις σφοδροτέρως παίουσιν ἧττον οὐ καίονται. διὸ καὶ διὰ τοὺς προσβαδίζοντας πρὸς τοὺς ἄλλους οἷς παρασκευάζονται καὶ τοῖς χρῶσι δρᾶν. καὶ διὰ τί τὰ

Sententia theophrasti cur ignis flamma pyramidalis

Cur arbores tendant in acutū

Cur lucerne ore a nō nullis excepte nō cōburūt sed extingunt

καὶ τὰ καύματα τὰ ὑπὸ θερμοῦ καθίστασθαι καὶ κωλύειν φλυκταίνας ἐξαν-
θεῖν. πάντα γὰρ ταῦτα καὶ εἴ τι τούτοις ὅμοιον εἰς ἐκείνην ἀνάγεται τὴν
αἰτίαν. εἴς τε τὴν τὸ ἔλαττον ὑπὸ τοῦ πλείονος φθείρεσθαι καὶ μα-
ραίνεσθαι, καὶ εἰς τὸ συνθλίβειν τε καὶ καταπνίγειν τὴν ἀρχήν.
τοῦτο γὰρ ποιεῖ καὶ τὰ στόματα καὶ ἡ κοιλία καὶ ἡ πίεσις. οὐκ
ἐᾷ γὰρ ἀπορρεῖν. μὴ ἀπορρέον δὲ ἧττον καίει. τούτων γὰρ ἡ δύνα-
μις. ἐπεὶ καὶ θλίβοντες οὕτω καὶ μεταβάλλοντες τοὺς ἄνθρα-
κας τῇ ἀποπιέσει σβεννύουσιν. αἱ δὲ τῶν ὑγρῶν δυνάμεις αἱ σβεστικώ-
τεραι τῷ παραδύεσθαι μάλιστα εἰς τὴν ἀρχὴν ὥσπερ ἐλέχθη
περὶ τοῦ ὄξους. ἐὰν δὲ ἅμα καὶ γλισχρότης τις μιχθῇ μᾶλλον. διότι
τὸ μὲν γὰρ διαδύναι ποιεῖ διοδοποιεῖν. τὸ δ᾽ ὥσπερ ἐπαλείφει καὶ
ἐπιπωματίζει. διὰ τί τοῦτο σβεστικώτατον εἶναί φασιν ἐάν τις
μίξῃ τὸ ὄξος ὠοῦ τῷ λευκῷ. τὸ μὲν γὰρ γλίσχρον, τὸ δὲ διαδυτικόν.
καὶ πρὸς τὰς ἐμπρήσεις τῶν μηχανημάτων τοῦτο μάλιστα βοη-
θεῖν. ἐὰν δὲ ἅμα τῇ ὑγρότητι τῇ τοιαύτῃ καὶ τὸ ψυχρὸν προσῇ
φύσει καὶ τοῦτο συνεργεῖν εἰς τὴν σβέσιν ὥσπερ οἱ καὶ περὶ τὴν

De Salamandra nota

σαλαμάνδραν εἶναι. ψυχρὸν γὰρ τῇ φύσει τὸ ζῷον, καὶ ἡ ἀπορρέουσα
ὑγρότης γλίσχρα καὶ ἅμα χυλόν τιν᾽ ἔχουσα τὸν αὐτόν, ὥστε δεῖ
κρεῖσθαι προσωτέρω. σημεῖον δὲ καὶ τὰ ὕδατα ὀλέθρια γίνεσθαι
τοὺς καρποὺς ἐὰν καταμιχθῇ, καὶ μᾶλλον τεθνεώσης. ἔτι δὲ καὶ
τὸ νωθὲς τῆς πορείας συνεργεῖ. πλείω γὰρ χρόνον ἐπιμένον μᾶλ-
λον σβεννύουσιν. ἡ δὲ σβέσις οὐκ ἐᾷ ὁπόσον οὖν ἦν πῦρ. ἀλλ᾽ ἐὰν σύμ-
μετρον πρὸς τὴν φύσιν καὶ τὴν δύναμιν. καὶ εἰς ὃ ἐὰν μὴ ἐπιχω-
ρίσῃ πάλιν ἀναζωπυρεῖται. σύμφωνον δὲ τούτῳ καὶ τὸ τὰ ἰξί-
ουμένα μὴ καίεσθαι. διὸ καὶ ἔνιοι πρὸς τὸ μὴ πάσχειν ἀλείφουσι. ψυ-
χρὸν γὰρ δὴ καὶ γλίσχρον ὁ ἰξός, ὥστε μὴ διὰ τὴν πυκνότητα δέχεσθαι, καὶ διὰ
τὸ ψυχρὸν σβεννύναι. τούτων μὲν οὖν αὗται αἱ αἰτίαι. τοῦ δὲ μὴ ἐπαίρεσθαι
τὰ κατακαύματα καὶ ἔτι ψυχρὸν ἐπιτεθέν. ἡ πλείων θερμότης κρατοῦ-
σα τοῦ ἐλάττονος καὶ ἀναξηραίνουσα τὴν γινομένην σύντηξιν ἀφ᾽ ἧς αἱ
φλυκταίναι ὥσπερ ἐλέχθη, καὶ καταμαραίνουσα καὶ συμφρύγουσα
τὴν ἀρχήν

//. γρ. ὥσπερ



τὴν ἀρχήν, καὶ τὰς μὲν καθ᾽ ἑκάστας σβέσεις ἐκ τούτων θεωρητέον. διὰ τί
δὲ ἐκ μὲν ξύλων γίνεται πυρεῖα, καίπερ οὐκ ἐκ πάντων τις ἧττον γίνε-
ται. τοῦτο δὲ οὐκ ἔστιν ἀληθές, ἐκ πολλῶν γίνεται μᾶλλον καὶ θᾶττον. οὐ μὴν
ἀλλ᾽ εἴπερ ἐκείνην ὑποληπτέον τὴν αἰτίαν, ὅτι τὸ μὲν ξύλον εὐ-
θὺς ὑπέκκαυον ἔχει συγγενῆ ἐνόντων τῷ πυρί. κἂν μὴ γὰρ πρὸς οὐ-
θὲν θᾶττον πυροῦται, διὰ ἀσθένειαν. ὁ δὲ λίθος ἔχει κατάξηρος ὤν. διὸ
καὶ τὸ ἐκ πάντων εὐθὺ πεπυρωμένον προσάγουσιν. ἄπειρξε βέλτιον δὲ ἐν
βορείοις ἢ νοτίοις τὰ πυρεῖα, διότι ξηρότερα ὄντα θᾶττον καὶ δι᾽ ἐλάτ-
τονος τρίψεως ἐκθερμαίνεται. διὰ τοῦτο γὰρ οὐδὲ τῶν τυχόντων ἀλλ᾽ ἐξ ὡρισ-
μένων τινῶν γίνεται. δεῖ γὰρ ἔχειν τινὰ συμμετρίαν. ἄριστα δ᾽ οἴονται μὲν
ἐκ κιττοῦ φασὶ, οἱ δὲ ἐκ τῆς καλουμένης ἀνδράχνης ἐσχάρας. τὸ δὲ ξύ-
πανον δάφνης. οὐ γὰρ ἐκ τοιούτου τρίβειν καὶ πάσχειν. ἀλλ᾽ ἑτέρου εὐθὺ κατὰ φύ-
σιν. ἀγαθὰ δὲ καὶ ἐκ ῥάμνου καὶ μᾶλλον εἰς τὴν ἐσχάραν. πρὸς δὲ τῷ ξηρῷ
καὶ χυμὸν εἶναι μανότητά τινα ἔχει. δεῖ γὰρ τὸ μὲν πάσχειν ἵνα ἡ τρί-
ψις ἰσχύῃ. τὸ δὲ τρύπανον ἀπαθέστερον εἶναι. διὸ τὸ τῆς δάφνης ἄριστον.
ἅμα γὰρ ἀπαθὲς ὂν ἐργάζεται τῇ δριμύτητι. ἐπεὶ δὲ ἄνευ ὑγρότη-
τος ἢ ἀναθυμιάσεώς τινος οὐκ ἔστι θερμότης, διὰ τοῦτο θερμὴ κονία καὶ
ἡ μᾶλλον ἢ καὶ ἁπλῶς ὕδατος ἐπιχεομένου. ἔστι γὰρ ὕλη τὸ εἰσκατα-
λελειμμένον πῦρ ὥσπερ οἱ λύχνοι. καὶ οὔθ᾽ ἡ παλαιὰ σφόδρα,
οὔθ᾽ ἡ νέα, ἀλλ᾽ ἡ ἀρτίκαυστος καὶ βωλοειδής. τῆς μὲν γὰρ ὁ χρόνος ἐξήρηται διὰ τὴν
ἀναπνοήν. ἡ δὲ μικρομερὴς ἅπαν ὀλίγον ἔχει. μικρὸν δὲ ὂν τὸ πῦρ
ἀσθενές. ἔοικε δὲ καὶ τὸ περὶ τὴν γύψον τὴν φοινικικὴν τοιοῦτον εἶ-
ναι. φασὶ γὰρ καὶ ἐκείνην ἀναφυσωμένην καίειν. οὐδὲν γὰρ διαφέρειν
σύμφυτον καὶ ἐπακτὴν ἔξωθεν ἔχειν τὸ θερμόν. ἐμφαίνει δέ τι καὶ
τὸ μεῖζον τὸ κεκαυμένον ἐντὸς ὀρύττεσθαι τὴν τοιαύτην δύναμιν.
ὅταν γὰρ ὕδωρ θερμὸν ἐπιχυθῇ διαθερμαίνει καὶ αἴσθησιν ἐμποιεῖ
κατὰ τὴν ἀφήν. ἀεὶ δὲ συμμετρίας τινὸς εἰς ἅπαντα τὰ τοιαῦ-
τα πρὸς τὸ κρατεῖσθαι. διὰ τοῦτο γὰρ καὶ ὁ οἶνος ἐγχεόμενος
ἐπὶ τὴν φλόγα, καθάπερ τοῖς σπένδουσιν ἐκλάμπει. καὶ
ἡ θάλαττα ὅταν σβεννύουσιν. ἐὰν δὲ ἔλαττον ᾖ καὶ τὸ ὕδωρ

πυρεῖα

πυρεῖα

Hedera
Andrachne
Laurus
Rhamnus

κονία calx

Gypsus ~~aegyptia~~ phoenissa

οἶνος ἐγχεόμενος ἐπὶ τὴν φλόγα καθάπερ τοῖς σπένδουσιν ἐκλάμπει

∴ [illegible] ἐκ
alexandri aphrodisei pro



συστελλόμενον γὰρ καὶ ἀθροισθὲν ἰσχυρότερον· ἐν δὲ τῇ ἀπίτῃ και-
ομένη μᾶλλον, ὅτι σφοδροτέρα καὶ πλείων ἡ φλόξ· ὥστε καὶ ἐκπη-
δᾶν, καὶ κατακαίειν τὰς οἰκίας· διακρίνεται γὰρ τὸ ἐμπεπιλημένον κρα-
τηθὲν καὶ ἐκφλογοῦται· ψόφος δὲ γίνεται πυρουμένων, διὰ τὸ *Cur ea que comburuntur sonum edat & strepitum*
μάχεσθαι τὸ θερμὸν καὶ τὸ ὑγρόν· ὅπερ συμβαίνει καὶ κατὰ τὴν σβέσιν·
ἀὴρ γάρ τις ὁ ψοφῶν καὶ κατὰ τὴν ἐναπόλειψιν καὶ ἐνταῦθα κἀκεῖ· ταὐ-
τὰ δὲ καὶ ἐπὶ τῶν λύχνων ἐστὶν ὁρᾶν ὅταν ὕδωρ ἔχῃ τὸ ἔλαιον· τὸ γὰρ *Cur lucerna strepitus edat cum oleo mista aqua*
ὕδωρ σβέννυσι· καὶ τὰ φύλλα δὲ τὰ τῆς δάφνης καὶ τοῦ κιττοῦ καὶ
τὰ ἄλλα τὰ τοιαῦτα, πηδᾷ διὰ πυκνότητα· καὶ διὰ τὸ ἔχειν
πολὺ τὸ ὑγρὸν ἐξάγει· οὔτε γὰρ πολὺ καὶ οὐ διέξεισι τῇ πυκνότητι.
διὸ καὶ ὁ ψόφος· ὡσαύτως δὲ καὶ τὰ ξύλα τὰ καόμενα· τὰ μὲν ῥήγνυ-
ται καὶ πηδᾷ· τὰ δὲ συνεχῆ ποιεῖ τινα ψόφον· καλοῦσι δὲ οἱ μὲν
μέλαν τὸν ἥφαιστον, οἱ δ' ἀπειλήν· ἀεὶ γὰρ καὶ ἐνταῦθα διαιρουμέ- *Risus vulcani vel mine*
νου τοῦ ὑγροῦ καὶ ἀθρόου φερομένου μετὰ βίας, ὁτὲ μὲν ῥῆξις γί-
νεται καὶ πήδησις· ὅταν δὲ συνεχὴς ψόφος καὶ φλόγωσις· ὃ καὶ αὐ-
τὸ ποιεῖ ζοφερόν τινα τὸ πῦρ ἐν φρέατι πνεύματος ὄντος, ἅτε πυ-
ρουμένου· ὁ δὲ καπνὸς ἧττον λυπεῖ ὅταν ἐν τῷ αὐτῷ πυρί· διὸ καὶ οἱ
ἐν τοῖς σπηλαίοις πολιορκούμενοι τῷ καπνῷ πῦρ ἐὰν ἔχωσιν, οὐδὲν *Cur fumus si ignis adsit minus ledat*
πάσχουσι· σβέννυσι γὰρ τὸ ἐν τῷ καπνῷ θερμὸν τὸ πῦρ· ἐπεὶ πέφυκε τὸ
πλέον τὸ ἔλαττον μαραίνειν· σβεννυμένου δὲ φθείρεται καὶ ὁ κα-
πνός· διὸ καὶ ὁ ἥλιος ὥσπερ τὸ πῦρ βοηθεῖ πρὸς τὸ μὴ καπνίζεσθαι· τὸ
δὲ ἐμφικτῷ καὶ πρὸς ἀπιόντα ἐκ πυρός· διὰ τοῦτο καὶ ἐγγὺς τοῦ πυ-
ρὸς ἧττον ἐνοχλεῖται· καὶ γὰρ τοῦτο ποιεῖ καὶ ἀναφέρει καὶ ἀπωθεῖ πρὸς τὰ
ἄνω· διὰ τὸ αὐτὸ δὲ καὶ τὸ πολὺ πῦρ ἄκαπνον· ὅτι φλογοῦται καὶ κατι-
σχύεται πολλοῦ τοῦ πυρὸς ὄντος· ὅσα γὰρ ἂν πλέον τὸ καιόμενον ἔλαττον τὸ κα-
πνίζον· ἐξαφθέντος ἢ θυμιωμένου καὶ ἐπὶ τῶν ξηρῶν ξύλων πυκνῶν συντι-
θεμένων ἄμεινον· οἱ ἄνθρακες ἐπιβαλλόμενοι ποιοῦσιν ἀκαπνότερον·
ὅτι ἐκφλογοῦνται πᾶς ὁ καπνὸς ἐμπίπτων εὐθὺς εἰς τὸ πῦρ· καὶ τῇ
πυκνότητι κατακαιόμενος· δύσκαπνα δὲ τῶν ξύλων τά τε χλωρὰ καὶ
τὰ σκολιά, καὶ τὰ τερμιώδη, καθάπερ ὁ φοῖνιξ· ἄτομον γὰρ



ἀεὶ καὶ οὐ διαιρετὸν εἶναι τῇ φλογί· διὸ καὶ τὰ ἐσχισμένα τῶν
ἀσχίστων εὐκαυστότερα· κωλύει γὰρ ὁ φλοιός· καὶ ἐάν τις κινῇ καὶ
μετατιθῇ καιόμενα, καπνωδέστερα· ὅτι συμβαίνει τὰ μὲν μετα-
στραφέντα συνίεσθαι· τὰ δὲ μὴ καίεσθαι· προσπίπτοντος ἀεὶ τοῦ
πυρός· ἀλλ' ὅσα καπνίζει· ἔνια δὲ καὶ τῶν ἀκαύστων περιφλαυ-
σθέντα πολυκαυστότερα γίνεσθαι καθάπερ τὰ ἐλάϊνα· διὸ καὶ
οὐ πολὺν χρόνον φασὶ δεῖν φυσᾶν ἐὰν μὴ πλῆθος ᾖ ξύλων· ἡ δὲ δρι- *Gravitas fumi pro quantitate humoris ligni*
μύτης τοῦ καπνοῦ κατὰ τὴν ὑγρότητα τὴν ἑκάστου· διὸ καὶ ἀπὸ
τῆς συκῆς δριμὺς ὀπωδέστερος γάρ· ὁ δὲ τῆς δᾳδὸς καὶ πεύκης οὐ
δηκτικός, ὅτι πλείων καὶ ἐλαιώδης, ὥσπερ ὁ καπνὸς οὐκ ἔχων
οὐδὲν τραχὺ καὶ γεῶδες· ὅτι δ' ἀπὸ μὲν τοῦ ἡλίου φῶς ἅπτουσι τῇ
ἀνακλάσει ἀπὸ τῶν λείων, τί τὸ ἄπορον· συμμίγνυσι δὲ τὸ ὑπέκ-
καυμα· ἀπὸ δὲ τοῦ πυρὸς οὐχ ἅπτουσιν· ὅμοιον δ' ἤτε λεπτομέ-
ρεια· καὶ ὅτι συνεχὲς γίνεται μᾶλλον ἀνακλώμενον· τὸ δὲ ἀδυ-
νατεῖ διὰ τὴν ἀνομοιότητα γενέσθαι· ὥστε τὰ μὲν τῷ ἀθροι-
σμῷ· καὶ τῇ λεπτότητι διαδυόμενον εἰς τὸ ἔκκαυμα δύνα-
ται καίειν, τὰ δ' οὐδέτερον ἔχον οὐ δύναται. ἐξάπτεται δὲ ἀπό
τε τῆς ὑέλου καὶ ἀπὸ τοῦ χαλκοῦ, καὶ τοῦ ἀργύρου τρόπον τινὰ
ἐργασθέντων· οὐχ ὥσπερ Γοργίας φησί· καὶ ἄλλοι δέ τινες οἴον- *Gorgias*
ται, διὰ τὸ ἀπιέναι τὸ πῦρ διὰ τῶν πόρων. οἱ δ' ἐξερίζοντες κα-
τὰ μικρὸν διαθερμαίνονται· καὶ οἱ λεγόμενοι χλιαρῷ καταχέουσι
πρῶτον ὅπως εἰς δυνάμενον διαχεῖ· τὸ γὰρ ἄγαν θερμὸν ἀθρόον
συνέκλεισε τοὺς πόρους· ὅτι μὲν ἄν τι περιπεῖσαν καὶ συνθλί-
ψαν φορικὴν ἐποίησεν· οὔτ' ἐκώλυσεν ἐξελθεῖν ὥστε μὴ πεπαῦ-
σθαι τὸ ῥιγοῦν, ἀλλὰ τὸ μὲν περικεκαῦσθαι, τὸ δὲ κατεψῦχθαι· κα-
θάπερ καὶ ἐπὶ τῶν κακῶς ὀπτωμένων· καὶ γὰρ ἐνταῦθα τὸ μὲν ἔξω καί- *De male assis*
εται, τὰ δ' ἐντὸς ὠμὰ πυκνουμένα καὶ οὐδὲ ἰόντων τῶν πόρων· διὸ καὶ
μαλακότητα καὶ συμμετρίαν τιμάζουσι πρὸς τὴν ὄπτησιν
καὶ ἐργωδέστερον φασὶ τὸ καλῶς ὀπτῆσαι· καὶ μᾶλλον τέχνης ἢ τὸ
ἑψῆσαι· οἱ δ' ἄνθρακες γίνονται μὲν μέλανες, ὅτι ἐγκατακλείε-
ται ὁ καπνὸς ἐν αὐτοῖς μέλας ὢν φύσει καθάπερ βά-

περι. διὸ μελίτται οἱ σκευασταὶ καίουσι γὰρ οὕτως, ὥστε ἀποσβέννυσθαι θυμιῶντες καὶ κατὰ μικρὸν διαδόντες ἀναπνοιήν. ἐὰν γὰρ φλογωθῇ κατακαίει καὶ διαλάττει εἰς τέφραν. ὁ δὲ καπνὸς ὁ μέλας ὅτι σύγκειται ἐξ ὑγροῦ διαλυομένου εἰς πνεῦμα καὶ γῆν. καὶ τοῦ πνεύματος ὄντος μέλανος, ὁ γὰρ ἀὴρ φύσει μέλας. ἕως μὲν οὖν ἂν ἔχωσι πῦρ, ἐρυθροὶ φαίνονται. διὰ γὰρ τοῦ μέλανος τὸ λευκὸν φαίνεται φοινικοῦν. ὥσπερ ὁ ἥλιος διὰ καπνοῦ καὶ ἀχλύος. διὸ καὶ ὁ ἄνθραξ τῆς φλογὸς ἐρυθρότερος. λεπτότερος γὰρ ὁ ἀποκρινόμενος καπνὸς τοῦ ἐνυπάρχοντος ἔτι γεώδους τῶν χυλῶν. διὸ καὶ ἧττον οὗτος αἰθοπος. ἐπεὶ καὶ αὐτῆς τῆς φλογὸς ἡ μᾶλλον καπνώδης καὶ τῶν χλωρῶν ἐρυθρὰ ξύλων. ὅταν δ᾽ ἀποσβεσθῶσι πνίγει συγκατακλειομένου καὶ ἐναποσβεννυμένου τοῦ καπνοῦ, μέλανες γίνονται διὰ τὴν λεχθεῖσαν αἰτίαν. τὰ δ᾽ ἐγκαύματα μάλιστα διαμένει. ὅτι ἐναπολαμβάνεται τὸ πνεῦμα τοῦ πυρός. πνευματῶδες δὲ μάλιστα τὸ πῦρ. ἀλλὰ περὶ μὲν τούτων ἱκανῶς εἰρήσθω μέχρι γε τοῦ νῦν· ἀκριβέστερον δὲ πάλιν ἐν ἄλλοις ἐροῦμεν περὶ αὐτῶν:~

Cur carbo flamma rubicundior

## Ͱ :~ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ἈΝΈΜΩΝ:~

Ἡ τῶν ἀνέμων φύσις, ἐκ τίνων μὲν καὶ πῶς καὶ διὰ τίνας αἰτίας γίνεται, τεθεώρηται πρότερον. ὅτι δὲ καὶ τὰς δυνάμεις, καὶ ὅλως τὰ συνακολουθοῦντα κατὰ λόγον ἀκολουθεῖ, πειρᾶσθαι χρὴ λέγειν οἷς ὥσπερ σχεδὸν διαφέρουσιν ἀλλήλων. αἱ δὲ διαφοραὶ περὶ ταῦτα καὶ ἐν τούτοις. οἷον μεγέθει, καὶ μικρότητι, ψυχρότητι, θερμότητι, ἁπλῶς τὸ χειμέριον ἢ εὔδιον εἶναι, καὶ ὑέτιον ἢ αἴθριον. ἔτι δὲ τὸ πολλάκις ἢ ὀλιγάκις καθ᾽ ὥραν ἢ τὸ μὴ ἀεὶ πνεῖν καὶ συνεχεῖς καὶ ὁμαλεῖς, ἢ διαλείποντας καὶ ἀνωμαλεῖς. Καὶ ὅλως ἃ συμβαίνει περὶ τὸν οὐρανὸν ἢ περὶ τὸν ἀέρα καὶ τὴν γῆν καὶ τὴν θάλατταν διὰ τὴν πνοήν. ὡς γὰρ ἂν ἁπλῶς εἰπεῖν ἐν τούτοις καὶ περὶ ταῦτα τυγχάνουσιν αἱ ζη-

Τήσεις



τήσεις. ἐν οἷς ἢ τὰ περὶ τῶν ζώων καὶ φυτῶν ἐμπεριλαμβάνεται. ἐπεὶ δ᾽ ἑκάστου τόπος ἴδιος ὑπόκειται, καὶ τοῦθ᾽ ὥσπερ τῆς οὐσίας ἀπὸ τούτων οἷς ἁπλῶς εἰπεῖν καὶ αἱ διαφοραὶ ἢ αἱ δυνάμεις καὶ ἕκαστον εἰπεῖν. οἷον πρῶτον ἢ τοῦ μεγέθους ἢ σμικρότητος ἢ ψυχρότητος καὶ θερμότητος καὶ πλήθους καὶ ὀλιγότητος καὶ τῶν ἄλλων τῶν πλείστων. ὑπάρχει δὲ ταῦτα. τὰ δ᾽ ἐναντία τοῖς ἐναντίοις. ἀμφότερα δ᾽ εὐλόγως. οἷον τῷ βορέᾳ ἢ τῷ νότῳ. μεγάλοι μὲν γὰρ ἄμφω καὶ πλεῖστον χρόνον πνέουσι διὰ τὸ συνωθεῖσθαι πλεῖστον ἀέρα πρὸς ἄρκτον ἢ μεσημβρίαν πλαγίων ὄντων πρὸς τὴν τοῦ ἡλίου φορὰν τῶν ἀπ᾽ ἀνατολῶν ἐπὶ δυσμάς. ἐξωθεῖσθαι δ᾽ ἐνταῦθα τῇ τοῦ ἡλίου δυνάμει. διὸ καὶ πυκνότατος ἢ συνεφέστατος ὁ ἀήρ, ἀθροιζομένου δ᾽ ἐφ᾽ ἑκάτερα πολλοῦ, καὶ πλείων ἡ ῥύσις καὶ συνεχεστέρα γίνεται πλεονάκις. ἐφ᾽ ὧν τά τε μεγέθη καὶ ἡ συνέχεια καὶ τὸ πλῆθος αὐτῶν ἢ αἴτιον τοῦτόν ἐστιν. ἡ δὲ ψυχρότης καὶ θερμότης ἐμφανέστατα δόξειεν ἂν εἶναι διὰ τοὺς τόπους γινόμενα. ψυχρὰ γὰρ τὰ πρὸς ἄρκτον, τὰ δὲ πρὸς μεσημβρίαν ἀλεεινά. τὸ δ᾽ ἐφ᾽ ἑκάτερον ῥέον, ὅμοιον. ἅμα γὰρ καὶ ἧττον ἐναπειλημμέναι τῷ σύνεγγυς, καὶ ἐναπειλημμένη φορά. τὸ δὲ διὰ στενοῦ καὶ σφοδροτέρως φερόμενον ψυχρότερα. ἔστι τὸ πόρρω διακεκαυμένον μᾶλλον καὶ ἀνειμένον. διὸ καὶ ὁ νότος ἐκεῖ ψυχρότερος ἢ παρ᾽ ἡμῖν. ὡς δέ τινές φασι καὶ μᾶλλον ἢ βορέας. ποιεῖ δέ τι καὶ ἡ μεταβολὴ πρὸς φαντασίαν. ἀλλ᾽ εἰ προϋπάρχοντος τοῦ τρόπου. ἢ τοῦτο μὲν κοινὸν ὡς εἰπεῖν πᾶσι. τὸ δ᾽ ὑέτιον ἢ αἴθριον, ἑκάτερον ἢ τὸ κυματῶδες καὶ ἄκυμον καὶ πυκνόν. καὶ συνεχὲς ἢ ἀνωμαλὲς ἢ ὁμαλόν. ἔτι δὲ τὸ μέγεθος τοῦ μὲν ἐρχομένου, τοῦ δὲ λήγοντος πρὸς τὴν ἐπίστασιν τῶν τόπων ἀπολύει μᾶλλον. ὅθεν μὲν γὰρ ἕκαστος πνεῖ, παρ᾽ ἐκείνοις αἴθριος. ὅπου δ᾽ ἀπωθεῖ τὸν ἀέρα παρ᾽ ἐκείνοις δ᾽ ἐπινεφὴς ἢ ὑέτιος. διόπερ ὁ μὲν βορέας, καὶ μᾶλλον οἱ ἐτησίαι τοῖς πρὸς μεσημβρίαν καὶ ἀνατολὴν οἰκοῦσιν ὑέτιοι. ὁ δὲ νότος πῶς εἰπεῖν ἢ οἱ ἐξ ἐκείνου τοῦ τόπου

Boreas & notus cur magni & multo tempore spiret

Etesiæ

πνέοντες τῶν πρὸς ἄρκτον· ὃ μικρὰ δ' ἐνταῦθα, ἀλλὰ μεγίστη ἐστὶν ἡ τῆς χώρας ὕψος ἐχούσης ἂν παρακόψῃ τὰ νέφη καὶ λάβῃ στάσιν ἐνταῦθα καὶ ὕδατος γένεσις. διὸ καὶ τῶν σύνεγγυς τόπων, ἄλλοι παρ' ἄλλοις ὑέτιοι τῶν ἀνέμων. ἀλλὰ περὶ μὲν ὑδάτων ἐν ἑτέροις εἴρηται διὰ πλειόνων. ἐκφαίνει τῆς δ' αἰτίας, καὶ ὁ μὲν βορέας εὐθὺς ἀρχόμενος μέγας. ὁ δὲ νότος λήγων. ὅθεν καὶ ἡ παροιμία συμβουλεύει τὰ περὶ τοὺς πλοῦς. ὁ μὲν γὰρ εὐθὺς οἷον ἐπίκειται τοῖς περὶ ἄρκτον οἰκοῦσιν. ὁ δὲ μακρὰν ἀφέστηκε. χρονιωτέρα δ' ἡ τῶν ἄπωθεν ἀπορροή. καὶ ὅταν ἀθροισθῇ πλῆθος. τοῖς δὲ περὶ αἴγυπτον καὶ τοὺς τόπους ἐκείνους ἀνάπαλιν ὁ νότος ἀρχόμενος μέγας. ὅθεν καὶ τὴν παροιμίαν ἐναντίως λέγουσιν. ὡσαύτως δὲ καὶ τὸ πυκνὸν καὶ ἄκυμον καὶ συνεχὲς καὶ ὁμαλὲς ἐκείνοις ὁ νότος ποιεῖ μᾶλλον. ἀεὶ δὲ τοῖς ἐγγὺς ἕκαστος τοιοῦτος δὲ τὰ πόρρω καὶ ἀνωμαλὴς καὶ διεσπασμένος. τούτων μὲν οὖν τὰς εἰρημένας αἰτίας ὑποληπτέον. ἅπερ ἐκφανὲς καὶ κατὰ τοὺς ἄλλους τρόπους ἐστίν. ἐλάττους καὶ ἔλαττον ἀπέχοντας ἀλλήλων. τοῦτο δ' ἂν δόξειεν ἀνάλογον εἶναι. ὁ μὲν γὰρ νότος ἀεὶ τοῖς ἑαυτοῦ τόποις αἴθριος. ὁ δὲ βορέας ὅταν ᾖ χειμὼν μέγας ἐν μὲν τοῖς πλησίον συννεφής, ἔξω δ' αἴθριος. αἴτιον δ' ὅτι διὰ μὲν τὸ μέγεθος πολὺν ἀέρα κινεῖ. τοῦτον δὲ φθάνει καὶ ἐπήγνυσι πρὶν ἀπῶσαι. παγέντα δὲ μένει τὰ νέφη διὰ βάρος εἰς τὰ ἔξω καὶ πορρωτέρω τῷ μεγέθει μᾶλλον ἡ ψυχρότης διαδίδοται. καὶ τοῦτο ἐργαζομένη. ὁ δὲ νότος ἧττον τ' ἔχων ὕλην καὶ ταύτην οὐκ ἐπιγνὺς ἀλλ' ἀπωθῶν, αἰθρίαν ἄγει τοῖς πλησίον. ὑετιώτερος δ' ἀεὶ τοῖς πόρρω. μέγας πνέων καὶ λήγων μᾶλλον ἢ ἀρχόμενος. ὅτι ἀρχόμενος μὲν ὀλίγον ἀέρα ἀπωθεῖται. προϊὼν δὲ πλείω. καὶ οὕτως ἀθροιζόμενος ἐκνεφοῦταί τε καὶ πυκνωθεὶς ὑδάτινος γίνεται· τὸ δὲ καὶ τὸ ἀπ' ἐλάττονος ἢ μείζονος ἀρχῆς ἄρχεσθαι διαφέρει. μικρᾶς μὲν γὰρ οὔσης, αἴθριος. μεγάλης δὲ ἐπινεφὴς καὶ ὑέτιος, διὰ τὸ πλείω συνωθεῖν ἀέρα. τὸ δὲ μὴ πνεῖν κατὰ

ταύτην

Quid paroemia consulat navigantib(us) de electi(on)e ventorum · de hac paroemia aristotelis in problematis

Notus regionibus suis serenus e contrario boreas

ὑδάτινος



κατὰ ταύτην τὴν αἴγυπτον εἰς θάλατταν τὸν νότον ὥς τινές φασιν μηδ' ὅσον ἡμέρας ἀπέχοντα καὶ νυκτὸς δρόμον, ἀλλὰ τὰ ὑπὲρ μέμφιδος λαμπρόν. ὁμοίως δὲ καὶ ἐὰν ἀπέχῃ τοσοῦτον, οὐκ ἀληθὲς μὲν εἶναί φασιν, ἀλλὰ ψεῦδος. οὐ μὴν ἴσως γε, ἀλλ' ἔλαττον πνεῖ. τὸ δ' αἴτιον ὅτι κοίλη τὰ κάτω ἡ αἴγυπτος. ὥσθ' ὑπερπίπτειν αὐτῆς. τὰ δ' ἄνω ὑψηλότερα. ἐπεὶ τό γε σύνεγγυς ἀπαιτεῖ τὸ μέγεθος. τὰ γὰρ τοιαῦτα μάλιστ' ἐκ τοῦ τόπου ἀποδοτέον. ἅπερ καὶ φύσιν ἔχειν, διαμένει δὲ ἐπινεφῆ καὶ αἴθρια τὰ πνεύματα ταὐτὰ ὁμοίως ὥσπερ ἀρτίως ἐλέχθη. τὸ δὲ τὸν βορέαν ἐπιπνεῖν τῷ νότῳ, τὸν δὲ νότον μὴ τῷ βορέᾳ, πρὸς ἐκείνην τὴν αἰτίαν ἀνακτέον. ἣν μείζουσαν ἑκατέρα κατὰ τοὺς τόπους. παρ' ἡμῖν δὲ τοῦτο συμβαίνει καὶ ὅλως τοῖς ὑπὸ τὴν ἄρκτον οἰκοῦσιν. τοῖς δ' ἑτέροις πρὸς μεσημβρίαν ἀνάπαλιν. αἴτιον δ' ἀμφοῖν τὸ αὐτό. τοῖς μὲν γὰρ ὁ βορέας, τοῖς δ' ὁ νότος πλησίον. ὥστ' εὐθὺς ἀρχόμενοι ποιοῦσιν αἴσθησιν. εἰς δὲ τὰ πόρρω βραδέως διικνοῦνται. πλείστων δὲ ὄντων ὥσπερ εἴρηται βορείων καὶ νοτίων, ἑκατέρας οἰκεία τάξις ἐν οἷς χρόνοις μάλιστα πνέουσι κατὰ λόγον μέχρι τοῦ λήγειν. τοῖς δὲ νοτίοις κατὰ χειμῶνά τε καὶ ἀρχομένου καὶ μετοπώρου λήγοντος. ὅτι δ' αἵ τε τοῦ ἡλίου φοραὶ συμβάλλουσιν ἀμφοτέροις, καὶ ἡ ἀνακόλασις γίνεται καθάπερ παλιρροοῦντος τοῦ ἀέρος. ὁ γὰρ ἀπωσθεὶς κατὰ χειμῶνα, πλείους δὲ ὡς ἐπίπαν βορείοις πλέουσι καὶ ἔτι πρότερον οὐ θέρους ὑπὸ τῶν ἐτησίων καὶ τῶν ἐν τούτοις αὐτὰ προδιδόασιν πάλιν τοῦ ἦρος εἰς τοὺς δὲ τοὺς τόπους, καὶ λήγοντος μετοπώρου καὶ περὶ πλειάδος δύσιν ἀνάλογον. ὅθεν καὶ τὸ θαυμαζόμενον ὡς ἄτοπον· διὰ τί βορέαι μὲν ἐτησίαι γίνονται, νότοι δ' οὐ γίνονται, φανερὸν πῶς συμβαίνει. οἱ δὲ ἠρινοὶ νότοι καθάπερ ἐτήσιοί τινές εἰσιν. οὓς καλοῦσι λευκονότους. αἴθριοι δὲ καὶ ἀσυννεφεῖς ὡς ἐπίπαν. ἅμα δὲ καὶ τὸ μακρὰν ἡμᾶς ἀπηρτῆσθαι λαμβάνουσιν. ὁ δὲ βορέας εὐθὺς ἐν ἡμῖν. ἡ δὲ τῶν ἐτησίων φύσις. διὰ τί δὲ ταύτην τὴν ὥραν καὶ πῶς οὕτως πνέουσι, καὶ διὰ τί λήγουσι τῆς ἡμέρας ληγούσης

Η Θ

Memphis

Boreę cur fiant etesię noti nō fiant .

Leuconoti

De Etesijs pulchrū

καὶ νύκτωρ πνέουσι, σχεδὸν ἐν ταύταις λέγεται τὸ αἴτιον· ὡς ἄρα ἡ μὲν
πνοὴ γίνεται διὰ τὴν τῆς χιόνος τῆξιν· ὅταν μὲν οὖν ὁ ἥλιος ἄρξηται
διαλύειν τὸν πάγον, κρατεῖν οἱ πρόδρομοι· μετὰ δὲ ταῦτα οἱ ἐ-
τησίαι. τοῦ δ' ἅμα τῇ καταφορᾷ τοῦ ἡλίου λήγειν καὶ νύκτωρ μὴ πνεῖν,
αἴτιον τὸ τὴν χιόνα τηκομένην παύεσθαι δυομένου, καὶ νύκ-
τωρ μὴ τήκεσθαι δεδυκότος· οὐ μὴν ἀλλ' ἐνίοτε πνέουσιν ὅταν πλείων
ἡ τῆξις γίνηται. καὶ γὰρ τῆς ἀνωμαλίας αἴτιον τοῦ-
το, λήγουσι μὲν γὰρ μεγάλοι καὶ συνεχεῖς, ὁτὲ δ' ἐλάττους καὶ διαλείποντες
πνέουσι, διὰ τὸ τὰς τήξεις ἀνωμαλεῖς γίνεσθαι κατὰ δὲ τὴν ὕλης
φοράν. ταύτην δὲ τὴν ἀνωμαλίαν ἐνδέχεται καὶ τοῖς τόποις καὶ τῇ
ἐγγύτητι ἢ πόρρω καὶ ἄλλαις τοιαύταις διαφοραῖς συμβαίνειν. εἰ δ' οὖν
ἀληθὲς ὃ λέγουσιν ἄλλοι τε καὶ οἱ περὶ Κρήτην, ὡς ἄρα νῦν μείζο-
νες οἱ χειμῶνες, καὶ χιὼν πλείων πίπτει· τεκμήριον φέροντες, ὡς τότε
μὲν ᾤκητο τὰ ὄρη, καὶ ἔφερε καρπόν, καὶ τὸν σῖτον καὶ τὸν δενδρίτην
πεφυτευμένης καὶ διειργασμένης τῆς χώρας· ἔστι γὰρ πεδία ἐν
τοῖς Ἰδαίοις ὄρεσιν εὐμεγέθη καὶ ἐν τοῖς ἄλλοις, ὧν νῦν οὐδ' ὁτιοῦν γε-
ωργοῦσι, διὰ τὸ μὴ φέρειν· τότε δ' ὥσπερ εἴρηται καὶ ἐπῴκουν, ὅθεν
καὶ ἡ νῆσος πλήρης ἦν ἀνθρώπων· ὄμβρων μὲν γινομένων κατ' ἐκεῖνον τὸν χρό-
νον, πολλῶν χιόνων δὲ καὶ χειμώνων μὴ γινομένων· εἰ δ' ἔστιν ἀληθῆ ταῦτα
καθάπερ λέγομεν, ἀναγκαῖον καὶ τοὺς ἐτησίας εἶναι πλείους. εἰ δέ
ποτ' ἐξέλιπον καὶ Ἀρισταῖος αὐτοὺς ἀνεκαλέσατο θύσας τὰς ἐν Κέῳ
θυσίας τῷ Διὶ καθάπερ μυθολογοῦσι, κάτομβρα ἂν εἴη τὰ ἐπιχει-
μέρια χωρία, οὐ χιονώδη, αὐτά τε δ' ἔτι ἂν ἔχειν διαλλαγήν· ἔτι
τεταγμένην, ἢ ἄτακτον, εἴη ἂν καὶ τῶν πνευμάτων παῦλα καὶ με-
ταλλαγὴ κατὰ τοὺς αὐτοὺς χρόνους· ἄτοπον δ' ἂν δόξειεν, εἰ μὴ καὶ τὸ πρὸς
μεσημβρίαν ἐστὶ τοιαύτη τις οἰκουμένη κατὰ τὸ ἦθος· πολλῷ γὰρ ἐκ-
πυρώτερος ὁ τόπος ἐκεῖνος, δῆλον οὖν οὐχ ὁ πλεῖς
μισητῆς κατὰ πολύ, οἱ δὲ προτεροῦσι οἱ δ' ἀπαθεῖς εἰσι· περὶ μὲν τούτων σκε-
πτέον. εἰ δὲ πάντων τῶν πνευμάτων ἡ αὐτὴ καὶ ὑπὸ τῶν αὐτῶν γένεσις,
τῷ τε παραλαβὼν ἡλίου αἰωρεῖ εἴη, τάχα δ' οὐκ ἀληθὲς καθόλου εἰπεῖν.

ἀλλ' ὡς ἡ

Prodromi

Etesię

Cretu opimo

δενδρίτην

Ida mons cretę

Aristę(us)

fabellam aduerte

Ceos insula



ἀλλ' ὡς ἡ ἀναθυμίασις. οὕτως δ' ὡς ἐνδέχεται· ἀλλ' ὁ ἥλιος δοκεῖ καὶ κι-
νεῖν ἀνατέλλων, καὶ καταπαύειν τὰ πνεύματα· διὸ καὶ ἐπαυξά-
νεται καὶ ἐμπίπτει πολλάκις· οὐ καθόλου δὲ τοῦτ' ἀληθές, ἀλλ' ἐφ' ὧν
τε συμβαίνει ταύτην ὑποληπτέον τὴν αἰτίαν· ὅτε μὲν γὰρ ἔλαττον ᾖ τὸ
ἀνηγμένον ὑγρόν, τοῦτο κατακρατεῖ ἐξανήλωκε καὶ κατέπαυσεν ὁ ἥ-
λιος· ὅτε δὲ πλέον, συμπαρώρμησε, καὶ σφοδροτέραν ἐποίησε τὴν κίνησιν.
ἐνίοτε δὲ καὶ ἅμα τῇ δύσει κατέπαυσεν· ἀφελόμενος τὴν ἀπ' αὐτοῦ κίνησιν
ἣν ἔδωκεν. τοῦτο δὲ δῆλον ὡς ἔχει τινὰ δεῖ συμμετρίαν, ὥστε μὴ
ἐξαναλίσκεσθαι, μήτ' ἐξ αὐτῆς δύνασθαι κινεῖσθαι πλείω χρόνον.
ἔνια δὲ καὶ δύνοντος τοῦ ἡλίου ἢ ὕπνου οὐδὲν κωλύει μᾶλλον, οἷον ὅσα κατέ-
χεται τῇ θερμότητι, καὶ ὥσπερ ἐξαναξηραίνεται καὶ ἐκκαίεται. διὰ τοῦτο
γὰρ καὶ ἐν μεσημβρίᾳ μάλιστα πνεύματα· παρεγκλίναντος δὲ τοῦ
ἡλίου πνευματωδέστεραι· ποιεῖ δὲ καὶ ἡ σελήνη ταῦτα· παραπλήσια ἡ χειμοί·
οἷον γὰρ ἀσθενὴς ἥλιός ἐστιν· διὸ καὶ νύκτωρ διειμότεραι καὶ αἱ
σύνοδοι τοῦ μηνὸς χειμεριώτεραι· συμβαίνει δ' οὖν ὁτὲ μὲν ἀνατέλλον-
τος τοῦ ἡλίου τὰ πνεύματα ἐπαίρεσθαι· ὁτὲ δὲ λήγειν. καὶ ἐπὶ τῆς δύσε-
ως ὁμοίως, ὁτὲ μὲν γὰρ κατέπαυσεν, ὁτὲ δ' ὥσπερ ἀφῆκεν· εἰ δέ ποτε καὶ κατὰ
σύμπτωμα γίνοιτο ταῦτα καθάπερ καὶ τὰ ἐπὶ τῆς ἄστρων ἀνατο-
λῆς καὶ δύσεως, ἐπισκεπτέον. ταὐτὸ δὲ καὶ ἐπὶ τῆς περὶ αἰτίας, καὶ διὰ μέσων νυ-
κτῶν καὶ μεσημβρίας ἄπνοοι γίνονται καὶ μάλιστα· συμβαίνει γάρ, ποτὲ μὲν
κρατεῖν, ποτὲ δὲ κρατεῖσθαι τὸν ἀέρα τὸν τοιοῦτον ὑπὸ τοῦ

μέσων μὲν νυκτῶν κρατεῖν· πορρωτάτω γὰρ ὁ ἥλιος τότε
μεσημβρίας, κρατῶν δὲ καὶ κρατούμενος ἕστηκεν· ἡ δὲ στάσις
νηνεμία, συμβαίνει δὲ καὶ τὰς καταπαύσεις γενέσθαι τῶν πνευ-
μάτων κατὰ λόγον· ἄρχεται γὰρ ἡ θερμὴ περὶ δυσμάς· λήγει δὲ
τὰ μὲν ἕωθεν, ὅτε κρατηθῇ· κρατεῖται δὲ κατὰ μεσημβρίαν· καὶ ἀπὸ δυσμῶν, ὅ-
ταν παύσηται κρατεῖν· τοῦτο δὲ γίνεται μέσων νυκτῶν. εἰ δέ τινι θαυμαστόν
ὡς ἄλογον, ὅτι τὰ πνεύματα ψυχρά ἐστιν ἀπὸ τῆς τοῦ ἡλίου κι-
νήσεως καὶ ἀπὸ τοῦ θερμοῦ γινόμενα, τοῦτο δὲ τὸ φαινόμενον αὐτὸ ἴσως ἄλο-
γον· οὔτε γὰρ ἀπὸ τοῦ, ἀλλ' ὡς συναιτίῳ προσαπτέον, οὔτε πάντως



De generatioe uentorum

Luna tanquam sol imbecillus est

ἡ ὑπὸ τοῦ θερμοῦ κίνησις θερμὴ καὶ πυρώδης· ἀλλ' ἐὰν πόρον τινὰ
γίνηται. ἀθρόως μὲν γὰρ ἐκπίπτουσα, καὶ συνεχὴς αὐτῶν τῶν ἀφι-
έντι θερμή· κατὰ μικρὸν δὲ καὶ διὰ στενοῦ τινος αὐτὴ μὲν θερμή, ὁ δ' ὑπὸ
ταύτης κινούμενος αὐτὸς ὁποῖος ἄν ποτε τυγχάνῃ πρόσω ὑπάρ-
χων, τοιαύτην δὲ τὴν κίνησιν ἀποδίδωσιν· παρὰ δὴ τοῦτο ἱκα-
νὸν τὸ ἐκ τῶν στομάτων ἀφιέμενον, ὅ φασιν εἶναι θερμὸν καὶ
ψυχρόν, οὐκ ἀληθῆ λέγοντες· ἀλλ' ἀεὶ μὲν θερμόν ἐστι· διαφέ-
ρει δὲ τῇ προέσει καὶ ἐκπτώσει· χασκόντων μὲν γὰρ καὶ ἀθρόως
ἀφιέντων θερμόν· ἐὰν δὲ διὰ στενοῦ σφοδρότερον φερόμενον ὠ-
θῇ τὸν πλησίον ἀέρα, κἀκεῖνος τὸν ἐχόμενον ψυχρῶν ὄντων
καὶ ἡ πνοὴ καὶ ἡ κίνησις γίνεται ψυχρά· τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν
πνευμάτων συμβαίνει· διασέμου γὰρ οὔσης τῆς πρώτης κινήσεως
αὐτὸ μὲν τὸ πρῶτον οὐ ψυχρόν· τὸ δ' ὑπὸ τούτου κινούμενον
ὡς ἂν ἔχῃ τυγχάνῃ πρὸς θερμότητα καὶ ψυχρότητα· ψυχροῦ μὲν
γὰρ ὄντος, ψυχρόν· θερμοῦ δὲ θερμόν· καὶ διὰ τοῦτο θέρους μὲν
θερμά· χειμῶνος δὲ ψυχρὰ πνεύματα· καθ' ἑκατέραν γὰρ τὴν
ὥραν τοιοῦτος ὁ ἀήρ· φανερὸν δ' ὅπου διὰ τὴν
ἐκπεπυρωμένον οἷον τετύχηκεν· ἐὰν γὰρ ὅπου πνεῦ-
μα καὶ ὁ τόπος θερμὸν εἴτε ψυχρὸν ὁμοίως
διάφορα τοῦ ἀέρος ἂν ᾖ τοιοῦτος φαίνεται καὶ ἐν αὐτοῖς μὲν
τοῖς τόποις τοῖς συνεχέσιν ἔμπυρος ἡ
πνοὴ γίνεται· πορρωτέρω δὲ προϊοῦσιν οὐχ ὁμοίως· ἐνίοτε δὲ καὶ
τὸ ἄλλοθεν ἐπιὸν ἐὰν διὰ ἐμπύρων ᾖ τόπων καὶ ἐχόντων ἀέρα πα-
χὺν καὶ διακαῆ, καὶ ὑπερβάλλον φαίνεται τῇ θερμότητι· διὸ καὶ οἱ
ὁδοιπόροι μὲν καὶ θερισταὶ πολλάκις ἀποθνήσκουσιν ὑπὸ τῶν τοιού-
των πνευμάτων, ἐν τοῖς πεδίοις καὶ ἐν τοῖς πνιγηροῖς τόποις·
τὰ μὲν αὐτοῦ συνεργαζομένου τοῦ συνυπάρχοντος ἀέρος,
τὸ δὲ τοῦ διαφόρου διὰ τὴν πνοὴν καὶ τὴν πρόσπτωσιν· ὅπου δ' ὑπ' αὐτοῦ τοῦ
μόνου κινουμένου ὁ ἀὴρ οὐχ ὑπὸ τοῦ θερμοῦ κρατούμενος, ταύτῃ φαίρεται τῆς φο-
ρᾶς· κἀκεῖθεν, δῆλον· εἰ μὲν γὰρ διὰ τὸ ψῦχος φύσει καὶ ἀτμιδώδης

κάτω



κάτω ἀναφέρεται εὐθὺ ὑπὸ τοῦ θερμοῦ ἄνω· τὸ γὰρ πῦρ ὡς κατὰ φύσιν αὐ-
τῇ ἡ φορά· μᾶλλον δὲ ὥσπερ ἐξ ἀμφοῖν μικτή, διὰ τὸ μὴ θάτερον
κρατεῖν· τοῦτο μὲν οὖν καθόλου τὸ κοινὸν ὅτι ὁποῖος ἂν ὁ ἀὴρ ᾖ
ἀναθυμίασις καθ' ἑκάστους ᾖ τόπους, τοιαῦτ' ἕξει καὶ τὰ πνεύματα τῇ
ψυχρότητι. καὶ τόδε συμμαρτυρεῖ· ὅσα γὰρ ἀπὸ ποταμῶν ἢ λιμνῶν
πνεῖ, ψυχρὰ διὰ τὴν ὑγρότητα τοῦ ἀέρος· ἀποψύχεται μὲν γὰρ
ἀπολείποντος τοῦ ἡλίου, καὶ ἅμα παχύτερος ὁ ἀτμός· καὶ ἔτι δὲ ἡ συνεγ-
γύς· ὥσθ' ὅταν προσπίπτῃ συμβαίνει καθάπερ ψαῦσιν τινὰ γίνε-
σθαι τοῖς σώμασι. καὶ διὰ τοῦτο πολλάκις ἔγκοιλοι καὶ ὡς σκεπεῖς τι-
νες ὄντες τόποι τῶν ἔξω πνευμάτων ὑπὸ τῶν ἐγχωρίων εἰσὶ ψυχροί· τὸ γὰρ ἀνα-
χθὲν ὑπὸ τοῦ ἡλίου, μένειν οὔτε πέφυκεν οὔτε δυνάμενον, φέρεται καὶ ποι-
εῖ πνοάς· διὸ αἵ τε ἀπὸ τῶν ποταμῶν καὶ λιμνῶν αὖραι, καὶ ὅλως αἱ ἀπόγειαι
πνέουσιν ἕωθεν ἀποψυχομένης τῆς ἀτμίδος διὰ τὴν ἀπόλειψιν
τοῦ θερμοῦ· τὴν γὰρ θύραθεν ταύτην αὐτὴν γίνεσθαι κατ' ὀλίγον ἐστὶ
διά τε τἆλλα καὶ διὰ τὴν ὥραν· καὶ ὅταν ψεκάδες καὶ ὑετοὶ μέτριοι
γίνωνται, μᾶλλον πνέουσιν· πρόσεισι γὰρ ὅλως τε πανταχοῦ καὶ
μᾶλλον αἱ ἀπόγειαι γίνονται μετὰ τοῦτο· ἀπὸ μόνου δὲ τοῦ Νείλου οὐκ εἶ-
σιν οὐκ ἀποπνέουσιν αὖραι, ἢ ἐλάχισται· διότι θερμὸς ὁ τόπος καὶ ἐξ οὗ καὶ
εἰς ὃν ῥεῖ· αἱ δ' αὖραι πυκνουμένου τοῦ ὑγροῦ εἰσι· διὸ καὶ οὐδ' ἀπὸ τῶν ἐν
Λυβίῃ ποταμῶν, οὐδ' ἀφ' ἑνὸς αὔρα οὐδαμοῦ· ἅπαντες γὰρ θερμοί· τοῦ-
το δὲ δῆλον ὅτι οὐδ' ἀπὸ τῶν περὶ Βαβυλῶνα, καὶ Σοῦσα, καὶ ὅλως περὶ
τοὺς ἐμπύρους τόπους· καίτοι φασί γε θαυμαστῶς καταψύχεσθαι
τὸν ἀέρα πρὸς τὴν ἕω· τοῦτο μὲν οὖν ἐπισκεπτέον· τάχα γὰρ ἀ-
ποψύχεται μέν, οὐ δύναται δὲ πορρωτέρω προϊέναι καὶ ποιεῖν αὔρας ἐμ-
πύρων αὐτοῦ τῶν ὑποδεχομένων ὄντων τόπων· ἀπὸ γοῦν τῆς
ἀπογείας καὶ τῆς τοιαύτης αὔρας καὶ αἱ τροπαῖαι γίνονται
συναθροισθέντος τοῦ ὑγροῦ ἀέρος· ἡ γὰρ τροπαία καθάπερ πά-
λιν περὶ τῶν τροπαιῶν καλουμένων πνοή τίς ἐστι πνεύματος ὥσ-
περ ἐν τοῖς εὐρίποις τῶν ὑγρῶν· ὅταν γὰρ ἀθροισθῇ καὶ πλῆθος λάβῃ
μεταβαίνει πάλιν, εἰς τὸ ἐναντίον· μάλιστα δ' ἐν τοῖς κοίλοις παῦ-



De Similitudine qua utuntur naturales spiritus ab ore emissi

Cur aestate uenti calidi hyeme frigidi

Messores & uiatores nonnumquam strangulari a uento

Qualis est aer & exhalatio tales esse uentos

A nilo duntaxat aut non exoriri auras aut minimas

Auras ab humido denso procreari

Apogaea

Tropae quid

τα γίνεται καὶ ὅπως πνέουσιν αἱ ἀπόγειαι. τούτων δὲ κατ' ἀμφότε-
ρον ὁ λόγος φαίνεται· ἐν μὲν γὰρ τοῖς κοίλοις ὡς συναθροισθήσεται πρὸς πλεί-
ω· ἐν γὰρ τοῖς ἀναπεπταμένοις διαχεῖται. τῶν δ' ἀπογείων
πνευμάτων ἀσθενὴς ἡ φύσις· ὥστ' οὐ δύνασθαι βιάζεσθαι πόρρω.
συμβαίνει δὲ καὶ ἡ ἀπόδοσις ἀνάλογον τοῦ τε πλήθους καὶ
τοῦ μεγέθους, ὡς ἂν αἱ ἀπόγειαι πνεύσωσιν. ὁμοίως δὲ καὶ κατὰ τὰς ὥρας
οἷον τὸ ὀψιαίτερον, ἢ τὸ πρωϊαίτερον ἐμβάλλειν αὐτάς. γίνεται δὲ καὶ
ἀνάκλασίς τις τῶν ἀνέμων ὥστ' ἀντιπνεῖν αὐτοῖς ὅταν ὑψηλοτέ-
ροις τόποις προσπνεύσαντες ὑπεραίρειν μὴ δύνωνται. διὸ ἐνιαχοῦ τὰ
νέφη τοῖς πνεύμασιν ὑπεναντία φέρεται. καθάπερ ἡ περὶ Λιγ-
γιὰς τῆς Μακεδονίας βορέου πνέοντος πρὸς τὸν βορέαν. αἴτιον
δ' ὅτι τῶν ὀρῶν ὄντων ὑψηλῶν τῶν τε περὶ τὸν Ὄλυμπον καὶ τὴν Ὄσσαν τὰ
πνεύματα προσπίπτοντα, καὶ οὐχ ὑπεραιρόμενα τούτων ἀνακλᾶ-
ται πρὸς τοὐναντίον. ὥστε καὶ τὰ νέφη κατώτερα ὄντα φέρουσιν
ἐναντία. συμβαίνει δὲ καὶ αὐτὸ τοῦτο παρ' ἄλλοις. ἐνιαχοῦ δὲ καὶ ὑπ' αὐ-
τοὺς τοὺς ἐτησίας ἀντιπνοιαι γίνονται τῷ βορέᾳ διὰ τὴν περίκλασιν
ὥστε ἀντιδρομεῖν τὰ πλοῖα, καθάπερ καὶ περὶ τὸν πόρον τὸν ἐκ
Χαλκίδος εἰς Ὠρωπὸν οὓς δὴ καλοῦσι παλιμβορέας. γίνεται δὲ τοῦτο σχε-
δὸν ὅταν ὦσι λαμπρότατα. ἔτι γὰρ μάλιστα δύναται ὡς πορρω-
τάτω διατείνειν, ὅταν πλῆθος ᾖ τὸ ἀντικόπτον. ἐνιαχοῦ δὲ διὰ τὸ προ-
σκόπτειν σχίζειν συνέβαινε τὸν ἄνεμον, ὥστε τὸ μὲν ἐκεῖσε, τὸ δὲ
δεῦρο ῥεῖν καθάπερ καὶ τὸ ὕδωρ ὑπὸ μιᾶς πηγῆς καὶ τοῦ αὐτοῦ ῥέον. ἁπλῶς
δὲ οἱ τόποι πολλὴν ποιοῦσι τῶν πνευμάτων μεταβολήν. ἄλλως τε καὶ τὸ σφο-
δρότερα καὶ ἠρεμέστερα φαίνεσθαι, καθάπερ ἐὰν διὰ στενοῦ καὶ ἀχανοῦς
πνέῃ. σφοδρότερον γὰρ ἀεὶ καὶ λαμπρότερον τὸ διὰ τοῦ στενοῦ καθά-
περ ὕδατος ῥεῖθρον. ἐκβιάζεται γὰρ καὶ διωθεῖ μᾶλλον ἀθρόον. διὸ καὶ
ἐν τοῖς ἄλλοις ἀπνοίας οὔσης ἐν τοῖς στενοῖς ἀεὶ πνεῦμα. μένειν γὰρ ὁ ἀὴρ οὐ δύνα-
ται διὰ τὸ πλῆθος. ἡ δὲ τούτου κίνησις ἄνεμος. ὅθεν καὶ ἐν τοῖς στενωποῖς
ὅταν κατακλεισθῶσι καὶ συμπέσωσι λαμπροὶ πνέουσιν. ἐν τοῖς πυ-
λῶσιν αἱ αἴθουσαι δὲ ἕλκουσιν ἀεὶ πνοὴν παρέχουσιν. πάντων γὰρ τούτων
καὶ τῶν τοιούτων ἡ αὐτὴ καὶ μία τις ἡ εἰρημένη αἰτία. πάλιν δ'

Apogei flatus

Lingies Macedonię

Olympus

Ossa

Ctesię

Poros .i. fretum ex chalcide in oropo

Palimborez

In locis angustis & cauis uehementiores flatꝰ

Aeré semper moueri ob magnitudiné

Aeris motú uenti diffinitioné esse



δ' ἔνιοι τόποι διὰ τὴν κοιλότητα, ἢ διὰ τὸ περιέχεσθαι μείζοσιν
ἐγγὺς οὖσι, τοῖς γε ἢ ἐγγυτέρω, ἕτερον ταῖς ἀρχαῖς. ὅλως ἀπόπνως τυγ-
χάνουσιν. οἱ δὲ πορρωτέρω πνευματώδεις. ὥσπερ ἡ περὶ Θετταλίαν
καὶ Μακεδονίαν συμβαίνει κατὰ τοὺς ἐτησίας. οὐ γὰρ πνέουσι
παρ' αὐτοῖς ὡς ἐπὶ πολύ. ἐν δὲ ταῖς νήσοις λαμπροὶ ταῖς μακρὰν ἀπηρ-
τημέναις. αἴτιον δὲ τὸ τὰς χώρας κοίλας καὶ ἐπισκεπεῖς
εἶναι. ταῖς δὲ νήσοις οὐδὲν ἐπιπροσθεῖν. ἡ φορὰ
κωλύονται δὲ καὶ οὗτοι καὶ ὅλως πᾶς ἄνεμος πνεῖν, ἢ διὰ τὴν ἀπόστα-
σιν. οὐ γὰρ δύνανται διατείνειν εἰς τὸ πορρωτέρω διὰ τὸ μῆκος, ἢ δι' ἐπι-
πρόσθεσίν τινα, ἢ ἕτερον εἰ τὸ πνεῦμα ἐγχώριον ἀντιπνεῖ καὶ κρατεῖ.
ὅτι δὲ συμβαίνει κατὰ τὴν ὥραν τοὺς ἐτησίας ἐπαίρεσθαι καὶ τὴν τρο-
παίαν πνεῖν περὶ Μακεδονίαν ὥσπερ σύμπτωμα θετέον. παν-
ταχοῦ γὰρ τῆς μεσημβρίας ἀπολήγει τὰ πνεύματα διὰ τὸν ἥλιον
ἅμα δὲ τῇ δείλῃ πάλιν αἴρεται. συμβαίνει δὲ κατὰ τὸν αὐτὸν καιρὸν τήν
τε τροπαίαν πρὸς ταῖς ἀπογείαις αὔραις καὶ τοὺς ἐτησίας ἐπαί-
ρεσθαι πάλιν. οὐ δὲ γὰρ τὴν ἀνάκλασιν τὴν ἀπὸ τοῦ Ὀλύμπου καὶ τῆς
Ὄσσης τῶν ἐτησίων αἰτιατέον, ἣν μὴ ἑρμηνεύουσιν οἱ ἔμπειροι παντε-
λῶς. τὰ μὲν οὖν συμπτώματα πειρατέον ἅπασι διαιρεῖν. ἐκεῖνο
δ' ἂν δόξειεν ἄτοπον καὶ παράλογον εἶναι, διὰ τί τῶν ὑψηλῶν τόπων
τὰ μὲν προσήνεμα πάντα ἀπνεύματα τυγχάνει. τὰ δὲ ἀπόσκο-
πα πνευματώδη καὶ οὐ μετρίως ἀλλὰ σφοδρῶς. οἷον ἐν Πλαταιαῖς τῆς Βοιω-
τίας κειμένης πρὸς τὸν βορέαν. ὁ μὲν βορέας οὐ διάδηλος, ὁ δὲ νότος μέγας ἡ χει-
μέριος. ἀνωπρόσθεν τοῦ Κιθαιρῶνος. καὶ πάλιν παρὰ μὲν τὰ Κοῖλα
τῆς Εὐβοίας ὑπὸ τῆς ἐτησίων τοῦ βορέου προσπαραθέντος (?), ἐν Καρύστῳ δὲ τηλικοῦ-
τοι πνέουσιν. ὥστε ἐξαίσιον εἶναι μέγεθος, ἔτι δὲ τῆς Κουριάδος ἐν τῷ κα-
λουμένῳ φαι κειμένῳ πρὸς νότον ὑψηλὸν ἡ ἀποτόμως
θαυμαστόν τι κῦμα μὲν εἰσπίπτει. πνεῦμα δ' οὐκ ἔστιν. ἀλλὰ καὶ τὰ
πλοῖα προσορμίζονται τῷ λιμένι [illegible] πλήσια. ἃ δὲ συμβαίνον-
τα θεωρεῖ ὅτι ν, αἴτιον δὲ τὸ μὲν μὴ διικνεῖσθαι τὸ πνεῦμα πρὸς τὰ ἐπί-
τωνη ὑπάγειν τὸν ἀέρα, μὴ δὲ [illegible] συμβαίνει διὰ τὸ ὕψος πρὸς κα-

Ctesię nó spirant apud thessalos & macedonas

Tropea

Olympus

Ossa

Pulchra questio

Platęę .V.

Cithęro

Euboee caua

Caristos

Curias

οὐχ ὑπεραίρων. ὅτι δ' ὑπεξάγει ἀεὶ δεῖ καὶ μὴ ἴσα
ἔσται τὸν ἀέρα φανερόν. ἐν γὰρ τοῖς οἰκήμασιν ὅταν τις ἂν κατακλείσῃ τὰς
θύρας, ἧττον διὰ θυρίδος ἡ πνοὴ φέρεται. πλὴν γὰρ ὅμως καὶ μὴ ὑπεξάγηται
οὐκ εἰσδέχεται τὸν ἔξωθεν ἀέρα· πρὸς γὰρ τὸ κενὸν ἡ φορά· διὸ καὶ τὸ ἑλκεῖν
οὐ καλῶς λέγεται. τὰ δὲ πρῶτα βορέου καὶ ὅλως κατήνυμα ἐπισκεπτέον. διὰ
τοῦτο πνευματωδέστερα· διὸ συμβαίνει συναθροιζόμενον ἐπὶ τὸ ὕψος
οἷον ὑπερχεῖσθαι τὸ πνεῦμα καὶ ἐμπίπτειν ἀθρόον
ἢ γὰρ ἂν ἐπικυείσῃ, ταύτῃ κατέρραξεν ἀληθῶς ἀθρόον. γίνονται δὲ καὶ
αἱ καταιγίδες ἐν τοῖς τοιούτοις· συστροφὴ γὰρ ἐν ταῦθα καὶ ἀθροισμὸς
πνεύματος· ὥσθ' ὅταν ἐν ῥαγῇ καθάπερ πληγὴν ἐποίησαν. ἰσχυρὸν
γὰρ τὸ ἀθρόον καὶ συνεχές, ὥσπερ καὶ ἐπὶ τῶν τυφώνων. αἱ μὲν οὖν διὰ
τοὺς τόπους συμβαίνουσι, ταῦτα καὶ τοιαῦτα τυγχάνει· πολλὰ δ' ἐστὶ καὶ
πολλαχοῦ, περὶ ὧν ἑκάστου, τὰς ἴσως ἔδει λέγειν. τὰ δὲ τοιάδε κοινὰ πάντων
τῶν ἀνέμων. οἷον ὅσα σημειώδη καθ' ἕκαστον ἐν τῷ μέλλειν. ὁ γὰρ ἀὴρ
ἀλλοιούμενος κατὰ πυκνότητα καὶ μανότητα ἢ κατὰ θερμότητα καὶ
ψύξιν, μὴ κατὰ ἄλλην τινὰ τοιαύτην διάθεσιν, ἐξεδήλωσεν ἀεὶ τὴν
ἐπιοῦσαν πνοήν· ὁμοιοπαθὴς γὰρ τὰ κατὰ τὸν ἀέρα καὶ προτηρεῖ τὸν
ἄνεμον εἰς τὴν ἡμετέραν αἴσθησιν. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς θαλάττης καὶ τῶν
ὑδάτων, ἔστι τινὰ τὰ αὐτὰ σημεῖα λαβεῖν. ἐπεὶ καὶ τὰ κύματα τὰ προ
ανιστάμενα καὶ προεκπίπτοντα σημαίνει τοὺς ἀνέμους· προωθεῖται
δὲ συνεχῶς ἀνὰ κατὰ μικρόν. τοῦτο δὲ προωθεῖ ἀλ
λο προωθοῦν καὶ πάλιν … ἅμα τε πνεῦμα ἐκινήθη μαραν-
θέντος τοῦ πρώτου. ἔθ' ὅτε ἀεὶ προωθούμενον προσέρχεται. παρόντος δὲ τοῦ
κινουμένου, φανερὸν ὅτι καὶ τὸ κινοῦν ἥξει. συμβαίνει δὴ καὶ ὑστερεῖν
τὰ κύματα τοῦ πνεύματος. ὕστερον δὲ διαλύονται καὶ παρακμάζουσι
διὰ τὸ δυσκινητότατον καὶ δυσκαταπαυστότερον. κοινὰ δὲ καὶ
τὰ τοιαῦτα πλειόνων οἷον ἀστέρων τέλις … σκε
ἀλλὰ παρηλίων φάσις καὶ ἀπομαρανθεὶς ἡ ῥῆξις, καὶ ἐπὶ τοῖς θάτερον.
πρότερον γὰρ ὁ ἀὴρ ἅμα ὢν τὸ πάχος ἀποδηλοῖ τὴν τοῦ πνεύματος φύσιν. ἔστι δὲ τὸ
ἐπὶ τέλει μεταστῆναι· καὶ γὰρ τοῦτο κενὸν πλείονος. ὅταν γὰρ ἀθροισθὲν ἐμπνεύσωσι
μικρὸν γίνεται τὸ λοιπόν. τὰ μὲν οὖν τοιαῦτα καθάπερ εἴρηται κοινὰ πάντων

Categides

Typho

Vnde intumescentes uentos portendunt



τῶν ὑστέρων. ἔστι δὲ τὰ καθ' ἕκαστον ἴδια κατὰ τὴν ἑκάστου φύσιν καὶ θέσιν, ὧν τὰ
μὲν τοῖς τόποις μερίζεται, καθ' οὓς καὶ πρὸς οὓς αἱ πνοαί. τὰ δὲ τῆς ἀρχῆς ὑφ' ὧν. τὰ
δ' ἄλλα τοιούτου. ἰδιώτατα δ' οὖν ὡς εἰπεῖν τὰ περὶ τὸν ἀπαρκτίαν καὶ
τὰ περὶ τὸν ζέφυρόν ἐστιν. ὁ μὲν γὰρ ἀπαρκτίας μόνος ἐφ' αὑτὸν ἄγει τὰ
νέφη καθάπερ καὶ ἡ παροιμία λέγει· ἕλκων ἐφ' αὑτὸν ὥστε καικίας νέ
φη. ὁ δὲ ζέφυρος λειότατος τῶν ἀνέμων, καὶ πνεῖ δείλης καὶ ἐπὶ τὴν γῆν καὶ
ψυχρὸς τοῦ ἐνιαυτοῦ ἐν δυοῖν μόνον ὥραις ἐαρινῇ καὶ μετοπωρινῇ. πνεῖ
δὲ ἐνιαχοῦ μὲν χειμέριος, ὅθεν καὶ ὁ ποιητὴς δυσαῆ προσηγόρευσεν. ἐνια
χοῦ δὲ μετρίως καὶ μαλακῶς. διὸ καὶ Φιλόξενος ἰδίως αὐτοῦ πεποίηκε
τὴν πνοήν. τὸ μὲν ἐκ ζεφύρου τὸ δ' ἀποκλείει καὶ διαφέρει τελέως. αἴτιον δὲ
τοῦ μὲν καικίου διότι πέφυκε κυκλοτερῶς φέρεσθαι γραμμῆς
τὸ κοῖλον πρὸς τὸ ἄνω ὄν. καὶ οὐ περὶ τὴν γῆν ἐστιν ὥσπερ τῶν ἄλλων, διὰ τὸ κά
τωθεν πνεῖν. πνεῖ δὲ ἐπὶ τῆς ἀρχῆς … οὗτος δὲ ἐφ' αὑτὸν ἄ
γει τὰ νέφη. πρὸς ὃ γὰρ ἡ πνοή, καὶ τῶν νεφῶν ἐντεῦθεν φορά. ὁ δὲ ζέφυ
ρος ψυχρὸς μὲν διὰ τὸ πνεῖν ἀφ' ἑσπέρας ἀπὸ θαλάττης καὶ πεδίων ἀναπε-
πταμένων. λεῖος δὲ μετὰ χειμῶνα τοῦ ἦρος ἄρτι τοῦ ἡλίου κρατοῦντος.
καὶ μετοπώρου πάλιν, ὅτι οὐκέτι κρατεῖ ὁ βορέας ἧττον ψυχρός, διὰ
τὸ ἀφ' ὕδατος πνευματοῦσθαι καὶ μὴ χιόνος πνεῖν. οὐ συνεχὴς δὲ διὰ τὸ
μὴ κρατεῖσθαι τὸ γινόμενον πνεῦμα. οὐ γὰρ ὥσπερ ἐστί· ἀνὰ πλά
νας τε καὶ διὰ τὸ ἐφ' ὑγροῦ βεβηκέναι καὶ ἐφομαλίζεσθαι διὰ τοῦτο.
περὶ δὲ αὐξέων διὰ αὐτὴν μὲν γὰρ πρὸς βορέαν καὶ νότον πρῶτος ἐ-
σπέρος δὲ ἔσχατος οὐδέ τις ἐστι. ἀνὰ τὸ ἀτλαντικὸν πέλαγος ὡς ἐπὶ
τὸ πολὺ φέρεται. τὸ δὲ δείλης ἡ πνοὴ διὰ τὸν τόπον. πάντα γὰρ μετὰ τοῦ
ἡλίου διαχεομένου τὸ ὑγρὸν ἢ ἀτμίζοντος γίνεται, ἢ συνεργοῦντος εἰς
τὴν ἀρχήν. ὅταν οὖν εἰς τὸν τόπον ἀφίκηται. καὶ ἡ πνοὴ καὶ τῆς νυ-
κτὸς παύεται διὰ τὸ ἐλλείπειν τὴν τοῦ ἡλίου κίνησιν. ἄγει δὲ καὶ νε
φέλας μεγίστας ὅτι ἐκ πελάγους πνεῖ. καὶ κατὰ ἔλαττον ὥστε ἐκ προ
τέρου συνάγειν. χειμέριος δὲ καὶ δυσαής. διόπερ τὰ πρότερα εἰρημέ
να. μετὰ δὲ τὸν χειμῶνα πνεῖν ψυχροῦ ἔτι τοῦ ἀέρος ὄν-
τος. ἐπειδὴ ὁ μετοπωρινὸς οὐ τοιοῦτος, εἰ μὴ τῷ με-

Aparctias

παροιμία

ἕλκων ἐφ' αὑτὸν ὥστε καικίας νέφη

De Zephyro

Homerus

Philoxenus

πρὸς ὃ ἡ πνοὴ καὶ τῶν νεφῶν ἐντεῦθεν ἡ φορά

ἀπολαμβάνοντος τὸ χειμέριον· ἐπεὶ τό γε συνεχέστερον μεῖζον πνεῖ, καθάπερ καὶ οἱ ἄλλοι, καὶ λιπαρώτερον ἴσως, ὥσπερ τὸ χειμέριον. ὡς δ' ἐπὶ πᾶσιν ἡ ὁμαλότης καὶ λειότης ὅτε ποιεῖ τινα χάριν κατὰ τὴν κίνησιν καὶ φοράν, ὥσθ' ὅπου τοιοῦτος ἐνταῦθα καὶ ἡδύς· εἰ μὴ ἄρα καὶ παρὰ λάττων ἐστὶ μνήμη τοιοῦτον τὴν προσηγορίαν· τὸν μὲν Κῖον ζέφυρον καλοῦντες· χειμέριος γὰρ οὗτος· ἀλλὰ ταῦτα μὲν ἐπισκεπτέον. ὅτι δὲ τοὺς καρποὺς οὓς μὲν φθείρει, οὓς δὲ τρέφει· καθόλου μὲν ἐκεῖνο ἀληθὲς εἰπεῖν ὃ καὶ κατὰ τῶν ἄλλων κοινόν, ὅτι φθείρει μὲν ὅπου ψυχρὸς πνεῖ τοῦ θέρους· ἀπόλλυσι δὲ ὅπου θερμὸς καὶ μάλιστα τοῦ χειμῶνος καὶ τοῦ ἦρος· ὁμοίως, ὅπου μὲν ψυχρὸς ἀπόλλυσιν, ὅπου δὲ θερμὸς τρέφει καὶ σώζει ἐναντίως ταῖς ὥραις τὴν φύσιν ἔχων. τοῦτο δ' ἐστὶν ὅταν ἐκ θαλάττης ᾖ· θερμὴ γὰρ αὕτη χειμῶνος, θέρους δὲ ψυχρά· διὰ τοῦτο δὲ καὶ ὁ νότος ἐνιαχοῦ τοιοῦτος, ὥσπερ καὶ ἐν Ἄργει καὶ ὁ βορέας δὲ παρ' ἄλλοις. τὸ μὲν οὖν ἁπλοῦν καὶ κοινὸν ὥσπερ ἐλέχθη τοῦτο· τὰ δὲ καθ' ἕκαστα ἐπὶ τῶν ἐκ τῆς θέσεως δεῖ καὶ τῶν ἄλλων τῶν συμβαινόντων ἀνασκοπεῖν, καὶ θεωρεῖν· εὑρήσει γὰρ σχεδὸν ἐν ταύταις ταῖς αἰτίαις τὴν διαφοράν· οἷον τῆς Ἰταλίας ἡ μὲν κεῖται καὶ ἡ Λευκὰς συνεχὴς ἐνθένδε τῷ ζεφύρῳ διὰ τὸ ἐκ θαλάττης προσπίπτειν· ἄλλη δέ τις οὐχ ὁμοίως, ἔνιαι δὲ καὶ βλάπτονται. καὶ περὶ τῆς Κρήτης ἡ μὲν Γόρτυνα τρέφεται, κεῖται γὰρ ἀναπεπταμένη, καὶ προσβάλλει τὴν ἐκ τοῦ πελάγους· ἑτέρα δέ τις πόλις, τῶν ἐκ τῆς γῆς καὶ ὀρῶν προσπίπτει φθείρεται. ὁμοίως δὲ καὶ ἐν τῷ Μηλιακῷ κόλπῳ πάντα καὶ τὰ ἐφέτια, καὶ τὰ τῶν δένδρων τὰ τῆς Θετταλίας περὶ τὸν Κιέριον, ἀμφοτέρων γὰρ τῶν τόπων ἡ αὐτὴ φύσις καὶ τὰ περιέχοντα ὅμοια· κεῖνται μὲν γὰρ ἀμφότεροι πρὸς ἀνατολὰς περιέχονται δ' ὄρεσιν ὑψηλοῖς· ὁ μὲν τῇ Οἴτῃ καὶ τοῖς συνεχέσιν· ὁ δὲ πνεῖ ζέφυρος ἀπὸ δυσμῆς ἰσημερινῆς, τὴν ὑπὸ τοῦ ἡλίου θερμότητα προσπίπτουσαν τοῖς ὄρεσιν, ἀνακλωμένην καὶ τὴν

εὐθὺς εἰς πεδίον καὶ ἀπέκαυσε· ὁμοίως δὲ καὶ περὶ τὰ ἄλλα οἷς ἔτι γείτονα ἢ παραπλήσιον, τοῦτο συμβαῖνόν ἐστι καὶ τοὐναντίοις ἀνάπαλιν, ὅλως γὰρ ὃ πολλάκις λέγεται τοῦτ' ἀληθὲς ὅτι μέγα συμβάλλεται δι' ὧν ἀναπνεῖ καὶ ὅθεν ἐστὶ πάλαι, καὶ εἰς θερμότη-

Zephyrū Cium uocant

De Zephyro notandū

Argos

Gortyn

Cierios thessaliæ

Oete . Mons



τα καὶ εἰς ψυχρότητα· διὰ τοῦτο γὰρ καὶ ὁ νότος ψυχρὸς οὐχ ἧττον τοῦ βορέου κατὰ τὴν παροιμίαν, ὅτι ἀέρα κατεψυγμένον ἔτι καὶ ὑγρὸν ὑπὸ τοῦ χειμῶνος τοιαύτην ἀνάγκη τὴν ἀναπνοὴν προσπίπτειν· οἷος ἂν ὁ ἀὴρ ᾖ καὶ βορέας· ὁ αὐτὸς τρόπος καὶ ἐπὶ τῶν ἄλλων. ὃν τρόπον φησὶ πάλιν ἡ παροιμία χειμῶνα ποιεῖν, διὰ τὴν αὐτὴν αἰτίαν ποιεῖ· βρεχθεὶς γὰρ ὁ ἀήρ, ψυχρός· ὡσαύτως δὲ καὶ αἱ ἀπὸ τῶν ποταμῶν αὖραι, ὥσπερ ἐλέχθη πρότερον· ἡ μὲν τούτων ἰδιότης ἔχει τιν' εὔλογον, ὅτι δὲ τὰ πνεύματα τοῦ μὲν χειμῶνος καὶ τὸ ἑωθινὸν ἀπὸ τῆς ἕω πνεῖ· τοῦ δὲ θέρους, καὶ τῆς δείλης ἀπὸ τῆς ἑσπέρας, ἐκείνην τὴν αἰτίαν ὑποληπτέον· ὅταν ὁ ἥλιος ἐλαύνῃ μηκέτι κρατεῖν τοῦ τοῦ ἀφιέμενος ὁ ἀὴρ εἰσδυόμενος συγκαλύπτει· ἀφ' οὗ τὰ ζεφύρεια καὶ ὅσον ἀνάσει τοῖς ἐν τῷ ἡμισφαιρίῳ κατοικοῦσιν

πνεύματα γίνεται κατ' ἐναντίον δ' ὅταν δύνηται ἐν τοῖς κάτω μερίζεται, θέρους μὲν ἐκείνοις ποιήσει· τὸ δ' ἐντεῦθεν ἑωθινὰ πνεύματα ἀπὸ τοῦ συνεπομένου ἀέρος· αὐτῷ τούτῳ καὶ ἐὰν λάβῃ πνέοντα ἄλλον ἄνεμον· ὡς μὲν οὐ μείζω γίνεται· διότι προσέθηκεν ὥσπερ ὁ ζέφυρος ἀεὶ καὶ πρῳαίτερον πνεῖ τοῖς ἑσπερίοις, οὕτω τοῖς κάτω πρὸς τὴν ἡμετέραν ἕω· ἐκείνων δ' ἑσπέρας ἅμα πνεύματα· ταῦτα μὲν οὖν παρὰ τὴν ὁμοιότητα παρ' ἑκατέρων, ἥ τε τοῖς ἄκροις ἑκάστου πνοή· γίνεται μὲν ὥσπερ καὶ τὰ ὕδατα, καὶ τὰ ἄλλα κατὰ συμβεβηκός· οὐ μὲν γε ἀκριβῶς ἀλλ' ἐπὶ τὸ πᾶν· ἕωθεν δ' ὥσπερ ἄλλο τι τῆς τεταγμένης καὶ ἐπὶ κοινὴν ὅτι πνεῖ, αἴτιον δὲ ὅτι θερμαίνει τὰ κάτω τοῦ ἡλίου πόρρω ὄντος, ὥστε γίνεται πολλὴ ἀτμίς· ἔπνεον δ' ἂν πολλοὶ μὴ κωλυόμενοι τοῖς ἐτησίαις· νῦν δ' οὗτοι διακωλύουσιν· οἱ δὲ νυκτερινοὶ βορέαι τριταῖοι παύονται ὅθεν ἡ παροιμία λέγεται, ὡς οὔποτε νυκτερινὸς βορέας· τρίτον καὶ τὸ φέγγος, διότι ἀσθενῆ τὰ πνεύματα γίνεται τὰ ἀπὸ τῆς ἄρκτου νύκτωρ ἀρξάμενα· φανερὰ γὰρ ὥσπερ λυσόκινηθεὶς ἀήρ, ὅταν τηνικαῦτα πνέῃ τῆς θερμότητος ὀλίγης οὔσης· ὀλίγον γὰρ ὀλίγη κινεῖ· τελευτᾷ δὲ πάντα ἐν τρισί, καὶ τὰ ἐλάχιστα δι' ἐν τῇ πρώτῃ τριάδι· ὅτι δ' οὐ καὶ τὸ ἴσον συμβαίνει γὰρ ἐπὶ τῶν μόνον νυκτερινῶν πνευσάντων αἴτιον ὅτι εἰσδῦς ὁ ἥλιος τῆς πρὸς νότον χώρας ἀλεεινότερος

Paroemia

Paroemia

Flatus hyeme matutino tempore ab ortu spirant. Aestate autē uesperi ab occasu

Paroemia

ὡς οὔποτε νυκτερινὸς βορέας

αἱ νύκτες ἐκεῖ περὶ τὴν ἄρκτον. ἢ ἡμέραιος κινούμενος ὁ ἀήρ. καὶ οὐδὲν ἐλάττων
ἡ μεθ' ἡμέραν· ἀλλ' ὅσῳ θερμότεραι αἱ ἡμέραι κωλύουσι τῷ ξη-
ραίνουσαι τὰς ὑγρότητας. τάχα δὲ καὶ ἐκεῖνο τῷ βορέᾳ
ὅτι ἀθρόως ἡ ἔκχυσις ὥσπερ τῶν ἐκνεφιῶν ταχεῖα δὲ ἡ παῦ-
λα τῶν ἀθρόων ἀσθενοῦς ἀρχῆς τὸ μέγεθος· ἀεὶ δ' ὡς ἐπὶ τὸ λαῦρος· με-
τὰ δὲ χρόνια ἀπέχουσιν. ὅθεν καὶ ἡ παροιμία, φιλεῖ δὲ νότος μετὰ
πάχνην. ὅτι πέψει τινὸς γινομένης καὶ ἀποκαθάρσει ἑκατέρου
τὸ πνεῖν· μετὰ δὲ τὴν πέψιν καὶ τὴν ἀποκάθαρσιν εἰς τοὐναντίον ἡ
μεταβολή. βορέᾳ δὲ ἐναντίος ὁ νότος, τὸ αὐτὸ τοῦτο καὶ μετὰ τὸν
ὑετὸν καὶ τὴν χάλαζαν καὶ τὰς τοιαύτας τῶν, ὡς τῶν τὸ παχὺ πίπτει
τὰ πνεύματα. πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα πέψεις εἰσὶ καὶ ἀπο-
καθάρσεις τινὲς εἰσίν. ἐπεὶ δὲ περὶ τὰς χώρας ἑκάστοις καὶ τοὺς τό-
πους αἱ ἐπινέφειαι καὶ αἴθρειαι, διὰ τοῦτο καὶ τῶν ἐν παροιμίᾳ λεγομένων
πρὸς τινὰς τόπους εἰσίν, ὥσπερ τοῦ ἀργέστου καὶ λιβός. αἰσχρὸν
δὲ μάλιστα περὶ κνίδον καὶ ῥόδον λὶψ ἄνεμος. ταχὺ δὲ νεφέλας·
ταχὺ δ' αἰθρείας ποιεῖ. ἀργέστῃ δ' ἀνέμῳ πάσαι ἕπονται νεφέλαι· περὶ
εἰ γὰρ τοὺς τόπους τούτους. ὅτε λὶψ ἀμφότερα ταχέως
ποιεῖ πνεῖ ἀπὸ τοιούτων ἀρχῶν, ὅτε περιστῇ ταχὺ διαβαίνει τὸν νότον. ἐνιαχοῦ
δὲ καθάπερ τάξις τις τῶν πνευμάτων· ὥστε θάτερον μετὰ θάτερον πνεῖν
ἐὰν μὴ ἐπικρατῇ χρόνον. τάχα δ' οὐδὲ τὸ ὅλον ἀπροφάσιστον γίνεται, εἴπερ ἡ πε-
ρίστασις ἀεὶ τῶν ἀνέμων εἰς τοὺς ἐφεξῆς πάλιν μεταβολὴ εἰς τοὺς ἐναντίους.
διὸ καὶ οὐ γίνονται μεταμαρτεῖν ὥσπερ ἰσαμερινὴ ἐκ πνευσάντων τελευτῶν. ὧν ἡ
μὲν κατὰ τὴν περίστασιν εἰς τοὺς ἐφεξῆς ἐστιν ὑπάτω γὰρ αὕτη μετάβασις
ἡ δὲ καὶ ἀναστρέφει πολλάκις τῶν αὐτῶν ὅτε ὑπὸ χειμῶνος ὁ ἀρκτίας τις
ἐστὶν ἡ δὲ κατὰ τὴν μεταβολὴν εἰς τοὺς ἐναντίους, καὶ ὅλως οὕτω πέφυκεν ἐπὶ
πάντων καὶ ἐπὶ τούτων ἡ ἀνταπόδοσις, καὶ οἷον ἡ ἀντίρροια κατὰ λόγον. ὅ-
περ καὶ τῶν ἀπογαίων ὑπάρχει περὶ τὰς τροπαίας. αὐτὴ δὲ πολλαχοῦ καθάπερ
ἐφημερινὴ τάξις τῆς μεταβολῆς, ἐνιαχοῦ δ' οὐ τροπαῖα ἀπὸ ἀντιπνεῖ.
ἀλλ' ἕτερόν τι πνεῦμα, περὶ λάτωσον καὶ περὶ τὸν παμφυλικὸν κόλπον.
ἕωθεν μὲν γὰρ δύεται καλούμενος ἀπὸ τοῦ ποταμοῦ τοῦ ἰδύρου πνεῖ μὲν ἁπλῶς· τῶν
πνεῖ δὲ αὐτῶν ὁ νότος καὶ ὥσπερ ὅτε δ' ἀντικόπτωσιν ἀλλήλοις κύματος τεμέ-

α
πάχνη
Φιλεῖ δὲ νότος μετὰ
πάχνην

Cnidos
Rhodos
Argestes
Lips

Apogeae
Tropeae
Pamphylicus sin.
Dyris uentus
Idyrus fl.



γέθους αἴρεται συνωθουμένης τῆς θαλάττης, καὶ πρηστῆρες πολλοὶ
ἐπιπίπτουσιν ὑφ' ὧν καὶ τὰ πλοῖα ἀπόλλυνται. τὸ γὰρ ὅλον ὅπου
τοιαύτη σύγκρουσις γίνεται τῶν ἀνέμων, καὶ κυμάτων μέγεθος αἴρεται
καὶ χειμὼν γίνεται πολύς. ὥσπερ ὅταν ἀντιπνεόντων ἀλλήλοις
μάχεσθαι φῶσι τοὺς ἀνέμους. ἐπεὶ κἀκεῖνο κατὰ λόγον ἐστὶν ὅταν
ἐπιπέσωσιν ἀλλήλοις μήπω τελέως πεπαυκόσι τὸν χειμῶνα
ποιεῖν. οἷον γὰρ ὕλην προσέθηκε θάτερος θατέρῳ δὲ μᾶλλον. τοῦτο ἐμφα-
νὲς ἐπὶ τοῦ βορέου, χειμεριώτερος γὰρ οὗτος καὶ εὐθὺ τῶν προσεμιχθέ-
ντων πῆξιν. ὡσαύτως δὲ καὶ ὁ νότος ὀξύγραινε καὶ ὑδατώδης ἐπιγίνεται. ἐνι-
αχοῦ δὲ καὶ τοὺς νιφετοὺς δοκεῖ ποιεῖν. ὥσπερ καὶ περὶ τὸν πόντον καὶ τὸν ἑλ-
λήσποντον, ὅταν ὁ βορέας οὕτω γένηται ψυχρός, ὥστε πήξας κατὰ χει-
μῶνα ἀναγαγεῖν τὸ πλοῖον διέπηξεν ἢ εἰς ὕδωρ διέλυσεν. καὶ αὗται μὲν
οἷον χειμεριναί τινες ἐπίπνοιαι, καὶ αὐτικῶς δὲ ἤδη ἐπὶ τῶν ἑῴων ἀνα-
τολῇ καὶ δύσει τῶν πνευμάτων ἀκρασίαι συμμιαίνουσιν. οὔτε
ταῖς μεταβολαῖς ἀεὶ πάντα μάλιστα πέφυκεν ἀθροίζεσθαι. ὁ δ' ὠρίων δια-
μαρτάνει μὲν ἐν ἀρχῇ ὀπώρας, δύνει δὲ ἐν ἀρχῇ χειμῶνος· ὥστε διὰ
τὸ μήπω καθεστάναι, μηδὲ μίαν ὥραν τινῶν μὲν γινομένης, τῶν δὲ παυο-
μένης, ἀνάγκη καὶ τὰ πνεύματα ἀκατάστατα καὶ ἄκριτα εἶ-
ναι διὰ ταῦτα οἷα καὶ αὐτὸς ἤδη χαλεπὸν γίνεται, καὶ
δύνων καὶ ἀνατέλλων εἶναι διὰ τὴν ἀοριστίαν περὶ ὥρας. ἀνά-
γκη γὰρ ταραχώδη καὶ ἀνώμαλα εἶναι, ἡ ταῦτα μὲν οὖν καὶ ὅσα ἄλλα
τοιαῦτα περὶ τὸν ἀέρα καὶ τὸν ὅλον οὐρανόν, συμβαίνει τάδε εἰς
τὴν ἡμετέραν διάθεσιν οἷον ἕτεροι ἐν τοῖς νοτίοις ἔχουσιν ἀνωμαλώτερον καὶ ἀδυνα-
τώτερον, ἄρτιον δ' ὅτι ἐξ πολὺ ὑγρὸν γίνεται καὶ ἡ πνεῦμα
τοῦ ὑγροῦ βορέα αὐτίκα κουφότερον ἐπειδὴ ἡμῖν ἰσχὺς καὶ δύναμις ἐν τῷ ἀθρό-
ον τι ἐπεισπεμπομένου κινεῖν. διὸ γὰρ κινουμένου συντίθεσθαι. τάχα δὲ μό-
ειας ποιεῖ τινα συμμετρίαν ὥστε καὶ ἰσχὺν καὶ συντείνεσθαι. καὶ παλί-
ξηροι. καὶ μὴ ὑδατώδεις ὄντες τόποι πυρετώδεις. ὑγρότη-
τα γὰρ ἐνίοις, τοῖς σώμασι θερμὴν ἀλλοτρίαν ἔσται θερμοὶ φύ-
σει καὶ ὑγροὶ ὄντες. ἡ δὲ τοιαύτη διάθεσις πυρετώδης. οὐ γὰρ πυ-

Orionis tam ortus quam occasus tempestuosus

Orio quando oriatur & occidat

θερμὸς ἐξ ἀμφοῖν τούτοις ὑπερβολῆς ἐστιν· ὅταν ὑδάτινα πνέωσι τὸ ὕδωρ καταψύχει τὴν ἕξιν· τὸν αὐτὸν δὲ τρόπον καὶ ὅσα ἄλλα τῶν σωμάτων περὶ ταῦτα ἐξῆς καθ' ἑκάτερον συμβαίνει γίνεσθαι· πλείω γάρ ἐστι τοιαῦτα καὶ ἐν πλείοσιν· ὧν ἁπάντων αἱ αὐταὶ καὶ παραπλήσιαι τινὲς αἰτίαι· καὶ τῶν καρπῶν δὴ καὶ τῶν ἄλλων τῶν τοιούτων ὁμοίως· ἅπαντα γὰρ εἰς τὴν ὑγρότητα καὶ διάλυσιν καὶ τὴν πυκνότητα καὶ σύστασιν, καὶ ὅσα ἄλλα τῆς συστοιχίας ἑκατέρας ἀναχθήσεται. καὶ ἐπὶ τῶν ἀψύχων δ' ὡσαύτως· οἷον αἵ τε ῥηγνύμεναι χορδαὶ καὶ οἱ ψόφοι τῶν κεκομμένων, καὶ ὅσα ἄλλα συμβαίνει διυγραινομένων καὶ ἀνιεμένων, περὶ τὴν τοῦ σιδήρου κατεργασίαν· πλείω γὰρ φασὶν ἐξελαύνειν τοῖς νοτίοις ἢ βορείοις· αἴτιον δ' ὅτι τὰ μὲν βόρεια ξηραίνει, καὶ σκληρύνει· τὰ δὲ νότια ἀνυγραίνει καὶ διανθεῖ. πᾶν δὲ ἀργότερον διακεχυμένον καὶ ὑποσκληρυμένον· ἅμα δὲ καὶ μᾶλλον ἴσχουσι καὶ συντομωτέρως τοῖς βορείοις· ἁπλῶς δὲ τὰ μὲν τοιαῦτα σχεδὸν ἐμφανεῖς ἔχει τὰς αἰτίας· οἷον ἀπὸ μιᾶς ἀρχῆς ἀνάλογον ἔχοντα τὸ ἐφεξῆς. ἐκεῖνο δὲ ἡ ἀπορία καὶ ζητήσει μᾶλλον γίνεται καθ' ἑκάτερον ὄν· οἷον εἰ μὴ σκληρότης, μὴ δὲ ξηρότης· μὴ δὲ πυκνότης τοῖς βορείοις· ἀλλὰ τὰ ἐναντία· καὶ τοῦ νότου δ' ὡσαύτως· τὸ γὰρ παράλογον αἰτίαν ἐπιζητεῖ, τὸ δ' εὔλογον καὶ ἄλλην αἰτίαν· συγχωροῦσι δὲ καὶ αὐτοί· δεινοὶ γὰρ προσθεῖναι τὸ ἐλλιπές· ὅτι δὲ ψυχροὶ ὄντες οἱ ἄνεμοι, ξηραίνουσιν· ἀλεάτερον ὁ ἥλιος θερμὸς ὤν, καὶ μάλιστα οἱ ψυχρότατοι, ταύτην ὑποληπτέον τὴν αἰτίαν· ὅτι πάλιν διατρίβουσι καὶ ταύτην ἀπάγουσι καὶ οἱ ψυχρότεροι μᾶλλον· ὁ δ' ἥλικα τα        διατί ποτε λέγεται μήτε τ' ἀπ' ἠπείρου δύσης νέφος, ὡς ἀπὸ πόντου χειμῶνος· θέρους δ' ἀπ' ἠπείροιο μελαίνης· ἢ διότι τοῦ μὲν χειμῶνος ἡ θάλαττα θερμοτέρα, ὡς ἐπεὶ συνέστηκεν ἰσχυρῶς· ἐλύθη γὰρ ἂν τῷ ἀέρι διὰ τὸ ἀλεεινὸν εἶναι τὸν τόπον· τοῦ τε θέρους ἡ μὲν θάλαττα ψυχρὰ καὶ τὰ ἀπὸ ταύτης πνεύματα· ἡ δὲ γῆ θερμὴ ὥστ' εἴ τι δὴ ἀπὸ τῆς γῆς συνέστη· διελύθη γὰρ ἂν εἰς ἀθέ-

νσαν

*διανθεῖ*

*Hanc eandem quaestionem invenies in problematis aristotelicis*



νσαν· τὸ δὲ μὴ περὶ νότου λαμπροῦ ἐν Αἰγύπτῳ, μὴ δ' ἡμέρας δρόμον ἀπέχοντι καὶ νυκτός, ψεῦδος· δασύνει γὰρ τὸν οὐρανὸν μάλιστα βορέαν καὶ ἀργέστην· τὸν δὲ νότον παραφέρειν· αἱ δ' ἔσωθεν ἐπινήφει καὶ δασύνειν, ἄχρις ἂν ὁ ἥλιος ἀνίσχει· οὐχ ὕειν δὲ διὰ τὸ μὴ ἔχειν ὅπου προκαθίσηται τὰ νέφη· νότον δὲ καὶ εὖρον καὶ ὅσα ἀπὸ μεσημβρίας, ἄρχεσθαι μὲν ἀπ' ἀνατολῶν, συμπαραχωρεῖν γὰρ τῷ ἡλίῳ· βορέαν δὲ καὶ ἀργέστην ἀνάπαλιν, ἀπὸ δυσμῶν, ἐπ' ἀνατολάς. ἐν Σικελίᾳ καικίαν δ' οὐ καλοῦσιν ἀλλ' ἀπηλιώτην· δοκεῖ δ' οὐχ ὁ αὐτὸς εἶναί τισιν· ἀλλὰ διαφέρειν· ὅτι ὁ μὲν δασύνει τὸν οὐρανὸν ὁ δ' οὔ.

παρεγγὺς δὲ        οἱ μὲν οὖν ὀλυμπίαν, οἱ δὲ σκίρωνα καλοῦσιν οἱ περὶ σικελίαν· δερκίαν· τὸν ἀπηλιώτην γὰρ ἑλλησποντίαν, κάρβαν δὲ φοίνικες βέρει        γὰρ ἐν τῷ πόντῳ.

*Refutata quorundam opinio*

*In Sicilia caeciam nō vocant sed apeliotē*

*Olympias*
*Sciron*
*Dercias*
*Hellespontias*
*Carbas*

# ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΛΙΘΩΝ.

Τῶν ἐν τῇ γῇ συνισταμένων· τὰ μέν ἐστιν ὕδατος. τὰ δὲ γῆς· ὕδατος μὲν, τὰ μεταλλευόμενα καθάπερ ἄργυρος καὶ χρυσὸς, καὶ τἆλλα· γῆς δὲ λίθος τε καὶ ὅσα λίθων εἴδη περιττότερα· καὶ εἴτινες δὴ τῆς γῆς αὐτῆς ἰδιώτεραι φύσεις εἰσὶν, ἢ χρώμασιν, ἢ λειότησιν, ἢ πυκνότησιν, ἢ καὶ ἄλλῃ τινὶ δυνάμει· περὶ μὲν οὖν τῶν μεταλλευομένων ἐν ἄλλοις τεθεώρηται· περὶ δὲ τούτων νῦν λέγωμεν· ἅπαντα τοίνυν ταῦτα χρὴ νομίζειν ὡς ἁπλῶς εἰπεῖν, ἐκ καθαρᾶς τινος συνεστάναι καὶ ὁμαλῆς ὕλης· εἴτε ῥοῆς, εἴτε διηθήσεως διά τινος γινομένης, εἴτε ὡς ἀνωτέρω εἴρηται καὶ ἄλλως ἐκκεκριμένης· τάχα γὰρ ἐνδέχεται, τὰ μὲν οὕτως τὰ δ' ἐκείνως τὰ δ' ἄλλως· ἀφ' ὧν δὴ καὶ τὸ λεῖον καὶ τὸ πυκνὸν καὶ τὸ στιλπνὸν καὶ διαφανὲς, καὶ τἆλλα τὰ τοιαῦτα ἔχουσι· καὶ ὅσῳ ἂν καὶ ὁμαλέστερα καὶ καθαρώτερα ἕκαστον ᾖ, τοσούτῳ καὶ ταῦτα μᾶλλον ὑπάρχει· τὸ γὰρ ὅλον ὡς ἂν ἀκριβείας ἔχῃ τὰ κατὰ τὴν σύστασιν ἢ πῆξιν, οὕτως ἀκολουθεῖ καὶ τὰ

*Metalla omnia ut argentum aurum et alia ex aqua gigni. Lapides autem ex terra*

*ῥοῆς*

ἀπολείπειν· ἡ δὲ πῆξις, τῶν μὲν ἀπὸ θερμοῦ· τοῖς δ' ἀπὸ ψυχροῦ γίνεται. κωλύει γὰρ ἴσως οὐδὲν ἔνια γένη λίθων ὑφ' ἑκατέρων συνίστασθαι τούτων· ἐπεὶ τάτε τῆς γῆς ἅπαντα δόξειεν ὑπὸ πυρός. ἐπείπερ ἐν τοῖς ἐναντίοις ἑκάστων ἡ πῆξις καὶ ἡ τῆξις. ἰδιότητες δὲ πλείους εἰσὶν ἐν τοῖς λίθοις. ἐν μὲν γὰρ τῇ γῇ χρώμασί τε καὶ γλισχρότητι καὶ λειότητι, καὶ πυκνότητι, καὶ τοῖς τοιούτοις αἱ πολλαὶ διάφοροι. κατὰ δὲ τὰ ἄλλα σπάνιοι. τοῖς δὲ λίθοις ἅπτεται καὶ πρὸς ταῖς ἑαυταῖς αἱ κατὰ τὰς δυνάμεις· οὔτε ποιεῖν ἢ πάσχειν· ἢ τὸ μὴ πάσχειν· τηκτοὶ γάρ· οἱ δ' ἄτηκτοι· καὶ καυστοί· οἱ δ' ἄκαυστοι, καὶ ἄλλα τούτοις ὅμοια· καὶ ἐν αὐτῇ τῇ καύσει καὶ πυρώσει πλείους ἔχοντες διαφοράς· ἔνιοι δὲ τοῖς χρώμασιν ἐξομοιοῦν ταῖς δυνάμεσι τὸ ὕδωρ· ὥσπερ ἡ σμάραγδος· οἱ δ' ὅλως ἀπολιθοῦν τὰ τιθέμενα εἰς ἑαυτούς· ἕτεροι δὲ ὁλκήν τινα ποιεῖν· οἱ δὲ βασανίζειν τὸν χρυσὸν καὶ τὸν ἄργυρον, ὥσπερ ἥ τε καλουμένη λίθος ἡρακλεία, καὶ ἡ λυδή· θαυμασιωτάτη δὲ καὶ μεγίστη δύναμις· εἴπερ ἀληθὴς ἡ τῶν τικτόντων· γνωριμωτέρα δὲ τῶν καὶ ἐν πλείοσι κατὰ τὰς ἐργασίας· γλυπτοὶ γὰρ ἔνιοι καὶ τορνευτοί, καὶ πριστοί· τῶν δὲ οὐδὲ ὅλως ἅπτεται σίδηρον· ἐνίων δὲ κακῶς καὶ μόλις· εἰσὶ δὲ πλείους καὶ ἄλλαι κατὰ ταύτας

αἱ μὲν οὖν κατὰ τὰ χρώματα καὶ τὰς σκληρότητας καὶ μαλακότητας καὶ λειότητας· καὶ τἆλλα τὰ τοιαῦτα· διὸ τὸ περιττὸν πλείοσιν ὑπάρχουσιν· καὶ ἐνίοις γε κατὰ τόπον ὅλως, ἐξ ὧν δὴ καὶ διωνομασμέναι λιθοτομίαι· παρίων τε καὶ πεντελικῶν· καὶ χίων τε καὶ θηβαικῶν· καὶ ὡς ὁ περὶ αἴγυπτον ἐν θήβαις ἀλαβαστρίτης· καὶ γὰρ οὗτος μέγας τέμνεται· καὶ ὁ τῷ ἐλέφαντι ὅμοιος ὁ χερνίτης καλούμενος· ἐν ᾧ περ τὸν δαρεῖον φασὶ κεῖσθαι, καὶ ὁ πόρος ὅμοιος τῷ χρώματι καὶ τῇ πυκνότητι τῷ παρίῳ· τὴν δὲ κουφότητα μόνον ἔχων τοῦ πόρου· διὸ καὶ ἐν τοῖς σπουδαζομένοις οἰκήμασιν, ὥσπερ διάζωμα τιθέασιν

αὐτὸν

Smaragdus

Herculeus / Lydius — Lapis

Lithotomie

Parius / Pentelicus / Chius / Thebaicus / Alabastrite / Chermites / Poros — Lapis

Darius



αὐτὸν οἱ αἰγύπτιοι. μέλας αὐτῇ διαφανὴς ὅμοιος τῷ χίῳ, καὶ παρ' ἄλλοις δ' ἕτεροι πλείους.

αἱ μὲν οὖν τοιαῦται διαφοραὶ καθάπερ ἐλέχθη, κοινότεραι πλείοσιν· αἱ δὲ κατὰ τὰς δυνάμεις τὰς προειρημένας, οὐκ ἔτι τὸ ὅλον ὑπάρχουσιν· οὐδὲ συνεχείαις λίθων, οὐδὲ μεγέθεσιν· ἔνιοι δὲ καὶ σπάνιοι πάμπαν εἰσὶ καὶ σμικροί, καθάπερ ἥ τε σμάραγδος· καὶ τὸ σάρδιον, καὶ ὁ ἄνθραξ, καὶ ἡ σάπφειρος καὶ σχεδὸν

λόγον εἰς τὰ σφραγίδια γλυπτῶν· οἱ δὲ καὶ ἐν ἑτέροις εὑρίσκονται διακοπτομένοις· ὀλίγοι δὲ καὶ οἱ περὶ τὴν πύρωσιν καὶ καῦσιν· ὑπὲρ ὧν δὴ καὶ πρῶτον ἴσως λεκτέον τίνας καὶ πόσας ἔχουσι διαφοράς· κατὰ δὴ τὴν πύρωσιν οἱ μὲν τήκονται καὶ ῥέουσιν, ὥσπερ οἱ μεταλλευτοί· ῥεῖ γὰρ ἅμα τῷ ἀργύρῳ καὶ τῷ χαλκῷ καὶ σιδήρῳ, καὶ ἡ λίθος ἡ ἐκ τούτων· εἴτ' οὖν διὰ τὴν ὑγρότητα τῶν ὑπαρχόντων· εἴτε καὶ δι' αὐτάς· ὡσαύτως δὲ καὶ οἱ πυρομάχοι καὶ οἱ μυλίαι ῥέουσιν οἷς ἐπιτιθέασιν οἱ καίοντες· οἱ δὲ καὶ ὅλως λέγουσι πάντας τήκεσθαι πλὴν τοῦ μαρμάρου· τοῦτον δὲ κατακαίεσθαι, καὶ κονίαν ἐξ αὐτοῦ γίνεσθαι· δόξειε δ' ἂν οὐχ ὅλως ἐπὶ πλεῖον εἰρῆσθαι· πολλοὶ γὰρ οἱ ῥηγνύμενοι καὶ διαπηδῶντες ὡς οὐ μαχόμενοι τὴν πύρωσιν, ὥσπερ οὐδ' ὁ κέραμος· ὃ καὶ κατὰ λόγον ἐστίν· οἵτινες ἐξυγρασμένοι τυγχάνουσιν· τὸ γὰρ τηκτὸν, ἔνικμον εἶναι δεῖ· καὶ ὑγρότητ' ἔχειν πλείω· φασὶ δὲ καὶ τῶν ἡλιουμένων, τοὺς μὲν ἀναξηραίνεσθαι τελέως· ὥστ' ἀχρείους εἶναι μὴ καταρρηχθέντας πάλιν καὶ συνεκμαθέντας· τοὺς δὲ καὶ μαλακωτέρους καὶ διαθραύστους μᾶλλον· φανερὸν δ' ὡς ἀμφοτέρων μὲν ἐξαιρεῖται τὴν ὑγρότητα· συμβαίνει δὲ τοὺς μὲν πυκνοὺς ἀποξηραινομένους, σκληρύνεσθαι· τοὺς δὲ μανοὺς καὶ ὧν ἡ σύμφυσις τοιαύτη, θραυστοὺς εἶναι καὶ τηκτούς· ἔνιοι δὲ τῶν θραυστῶν ἀνθρακοῦνται, τῇ θραύσει, καὶ διαμένουσι πλείω χρόνον· ὥσπερ οἱ περὶ βίνας ἐν τῷ μετάλλῳ· οὓς ὁ ποταμὸς καταφέρει· καίονται γὰρ ὅταν αὐ-



Chius lapis

Smaragdus / Sardius / Anthrax / Sapphiro

Pyromachi / Milie / Marmor

Binarú lapis

θρακος ἐπιτηδείως, καὶ μέχρι τούτου χρῶνται φυσῶντες· εἶτ' ἀπομαραινόμενοι καὶ πάλιν καίονται· διὸ καὶ πολὺν χρόνον ἡ χρῆσις. ἡ δ' ὀσμὴ βαρεῖα σφόδρα καὶ δυσχερής. ὃν καλοῦσι σπῖνον, ὃς ἦν ἐν τοῖς μετάλλοις, τοιοῦτος διακοπεὶς καὶ συντεθεὶς πρὸς ἑαυτὸν ἐν τῷ ἡλίῳ τιθέμενος καίεται, καὶ μᾶλλον ἐὰν ἐπιψεκάσῃ καὶ περιρράνῃ τις. ὁ δὲ λιπαραῖος ἐκφοροῦται τῇ καύσει· καὶ γίνεται κισηροειδής· ὥσθ' ἅμα τήν τε χρόαν μεταβάλλειν καὶ τὴν πυκνότητα. μέλας τε γὰρ καὶ λεῖός ἐστι· καὶ πυκνὸς ἄκαυστος ὤν. γίνεται δ' οὗτος ἐν τῇ κισήρει διειλημμένος ἄλλοθι καὶ ἄλλοθι καθάπερ ἐν κυθρισμῷ· καὶ οὐ συνεχής, ὥσπερ καὶ ἐν μήλῳ φασὶ τὴν κίσηριν ἐν ἄλλῳ τινὶ λίθῳ γίνεσθαι. καὶ ὁ μὲν τούτῳ, ὥσπερ ἀντιπεπονθώς· πλὴν ὁ λίθος οὗτος οὐχ ὅμοιος τῷ λιπαραίῳ. ἐκφοροῦται δὲ καὶ ὁ ἐν τετράδι τῆς σικελίας γινόμενος· τοῦτο δὲ τὸ χωρίον ἐστὶ κατὰ λιπάραν. ὁ δὲ λίθος ἐν τῇ ἄκρᾳ τῇ ἐρινεάδι καλουμένῃ πολύς· ὁμοίως τοῖς κίναις καιόμενος, ὀσμὴν ἀφίησιν ἀσφάλτου· τὸ δ' ἐκ τῆς κατακλίσεως ὅμοιον γίνεται τῇ κεκαυμένῃ. οὓς δὲ καλοῦσιν εὐθὺς ἄνθρακας τῶν θρυπτομένων διὰ τὴν χρείαν, εἰσὶ γεώδεις· ἐκκαίονται δὲ καὶ πυροῦνται καθάπερ οἱ ἄνθρακες· εἰσὶ δὲ περί τε τὴν λιγυστικὴν ὅπου καὶ τὸ ἤλεκτρον, καὶ ἐν τῇ ἠλίᾳ βαδιζόντων ὀλυμπίαζε τὴν δι' ὄρους· οἷς καὶ οἱ χαλκεῖς χρῶνται. εὑρέθη δέ ποτε ἐγκαπῆς ὕλης μετάλλοις· λίθος ὃς τῇ μὲν ὄψει παρόμοιος· ὢν ξύλῳ σαπρῷ· ὅτε δ' ἐπιχέοιτό τις ἔλαιον, καίεται· καὶ ὅτε ἐκκαυθείη, τότε παύεται καὶ αὐτὸς ὥσπερ ἀπαθὴς ἦν. τῶν μὲν οὖν καιομένων σχεδὸν αὗται διαφοραί. ἄλλο δέ τι γένος ἐστὶ λίθων ὥσπερ ἐξ ἐναντίων πεφυκὸς ἄκαυστον ὅλως, ἄνθραξ καλούμενος· ἐξ οὗ καὶ τὰ σφραγίδια γλύφουσιν· ἐρυθρὸν μὲν τῷ χρώματι, πρὸς δὲ τὸν ἥλιον τιθέμενον ἄνθρακος καιομένου ποιεῖ χρόαν. τιμιώτατον δ' ὡς εἰπεῖν· μικρὸν γὰρ σφόδρον τετταρά-

κοντα

Spinus
Lyparaeus lapis
Cythrisimus
Melos insula
Tetras Siciliae loc(us)
Lipara
Erineas promontorium
κίναις
Anthraces
Lygustica regio
Electrum
Elea regio
Olympia
Anthrax i. carbo lapis cuiusmodi

ἠλία
i. heliadis agro



κοντα χρυσῶν· ἄγεται δ' οὗτος ἐκ καρχηδόνος καὶ μασσαλίας· οὐ καίεται δ' ὁ περὶ μίλητον γωνιώδης ὤν· ἐν ᾧ περ καὶ τὰ ἑξάγωνα· καλοῦσι δ' ἄνθρακα καὶ τοῦτον, ὃ καὶ θαυμαστόν ἐστιν· ὅμοιον γὰρ τρόπον τινὰ καὶ τὸ τοῦ ἀδάμαντος· οὐ γὰρ δὴ ὥσπερ ἡ κίσηρις καὶ τέφρα, δόξειε δ' ἂν διὰ τὸ μηδὲν ἔχειν ὑγρόν· ταῦτα γὰρ ἄκαυστα καὶ ἀπύρωτα διὰ τὸ ἐξῃρῆσθαι τὸ ὑγρόν· ἐπεὶ καὶ τὸ ὅλον ἡ κίσηρις ἐκ κατακαύσεως δοκεῖ τισι γίνεσθαι· πλὴν τῆς ἐκ τοῦ ἀφροῦ τῆς θαλάσσης συνισταμένης· λαμβάνουσι δὲ τὴν πίστιν διὰ τῆς αἰσθήσεως· ἔκ τε τῶν περὶ τοὺς κρατῆρας γινομένων· καὶ ἐκ τῆς διὰ βάρους λίθου τῆς φλογιζομένης ἣ κισηροῦται· μαρτυρεῖν δὲ καὶ οἴονται δοκοῦσιν ἐν οἷς ἡ γένεσις· καὶ γὰρ ἐν τούτοις μάλιστα καὶ ἡ κίσηρις· τάχα δ' ἡ μὲν οὕτως, αἱ δ' ἄλλως· καὶ πλείους τρόποι τῆς γενέσεως· ἡ γὰρ ἐν νισύρῳ καθάπερ ἐξ ἄμμου τινὸς ἔοικε συγκεῖσθαι· σημεῖον δὲ λαμβάνουσιν, ὅτι τῶν ὠνησκομένων ἔνιαι διαθρύπτονται ἐν ταῖς χερσὶν ὥσπερ εἰς ἄμμον· διὰ τὸ μήπω συνεστάναι· μὴ δὲ συμπεπῆχθαι· εὑρίσκουσι δ' ἀθρόας κατὰ μικρὰ χεῖρο πληστὰς ὅσον πολλὰς ἢ μικρῷ μείζους, ὅταν ἀποκαθαίρωσι τὴν ἄμμον· ἐλαφρὰ δὲ σφόδρα καὶ ἡ ἄμμος. ἡ δ' αὖ καὶ ἐν μήλῳ πᾶσα μέν· ἐνίας δ' αὖ ἐν λίθῳ τινὶ ἑτέρᾳ γίνεται καθάπερ ἐλέχθη πρότερον· διαφορὰς δ' ἔχουσι πρὸς ἀλλήλας· καὶ χρώματι καὶ πυκνότητι καὶ βάρει· χρώματι μέν, ὅτι μέλαινα ἡ ἐκ τοῦ ῥύακος τοῦ ἐν σικελίᾳ· πυκνότητί τε καὶ βάρει, αὕτη τε καὶ μαλώδης· γίνεται γάρ τις καὶ τοιαύτη κίσηρις καὶ βάρος ἔχει καὶ πυκνότητα καὶ ἐν τῇ χρήσει πολυτιμότερον τῆς ἑτέρας· τμητικὴ δὲ καὶ ἡ ἐκ τοῦ ῥικὸς μᾶλλον τῆς κορυφῆς καὶ λευκῆς· τμητικωτάτη δ' ἐκ τῆς θαλάσσης αὐτοῦ· καὶ περὶ μὲν τῆς κισήρεως ἐπὶ τοσοῦτον εἰρήσθω· περὶ δὲ τῶν πυρουμένων, καὶ τῶν ἀπυρώτων λίθων ἀφ' ὧν καὶ εἰς τοῦτο ἐξέβημεν, ἐν ἄλλοις θεωρητέον τὰς αἰτίας· τῶν δὲ λίθων καὶ ἄλλαι

τυγχάνουσιν· ἐξ ὧν καὶ τὰ σφραγίδια γλύφουσιν· αἱ μὲν τῇ

Carthago
Massilia
Meletus
Pumex lapis
De Pumice
Nesyrus
Melos insula
ῥιχός

ὄψει μόνον· οἷον τὸ σάρδιον καὶ ἴασπις, καὶ ἡ σάπφειρος· αὕτη δ᾽ ἐστὶν
ὥσπερ χρυσόπαστος. ἡ δὲ σμάραγδος, καὶ δυνάμεις τινὰς ἔχει. τῷ
τε γὰρ ὕδατι ὥσπερ εἴπομεν ἐξομοιοῦται τὴν χρόαν ἑαυτῇ· με
τρία μὲν οὖσα ἐλάττονος· ἡ δὲ μεγίστη πάντως· ἡ δὲ χειρίστη, τοῦ
καθ᾽ αὑτὴν μόνον. καὶ πρὸς τὰ ὄμματα ἀγαθή· διὸ καὶ τὰ σφραγί
δια φοροῦσιν ἐξ αὐτῆς ὥστε βλέπειν. ἔστι δὲ σπανία, καὶ τὸ
μέγεθος οὐ μεγάλη. πλὴν εἰ πιστεύειν ταῖς ἀναγραφαῖς δεῖ ὑπὲρ
τῶν βασιλέων τῶν αἰγυπτίων          νους γάρ φασι κομι-
σθῆναι ποτὲ ἐν δώροις παρὰ τοῦ βαβυλωνίων βασιλέως μῆκος
μὲν τετράπηχυν, πλάτος δὲ τρίπηχυν· ἀνακεῖσθαι δὲ καὶ ἐν τῷ
τοῦ διὸς ὀβελίσκῳ σμαράγδους τέτταρας, μῆκος μὲν τετταρά
κοντα πηχῶν· εὖρος δὲ τῇ μὲν τέτταρας, τῇ δὲ δύο. ταῦτα μὲν
οὖν ὅτι κατὰ τὴν ἐκείνων γραφήν. τῶν δὲ          ανῶν καλουμέ
νων ὑπὸ πολλῶν, ἡ ἐν τύρῳ μεγίστη στήλη γὰρ ἐστὶν εὐμεγέθης ἐν τῷ
τοῦ ἡρακλέους ἱερῷ· εἰ μὴ ἄρα ψευδὴς σμάραγδος· καὶ γάρ τοι
αὕτη γίνεταί τις φύσις. γίνεται δὲ ἐν τοῖς ἐφικτοῖς καὶ γνω
ρίμοις τόποις, διτταχοῦ μάλιστα περί τε κύπρον ἐν τοῖς χαλ
κορυχείοις, καὶ ἐν τῇ νήσῳ τῇ ἐπικειμένῃ καρχηδόνι· καὶ ἰδιωτέ
ρους εὑρίσκουσιν ἐν ταύτῃ. μεταλλεύεται γὰρ ὥσπερ τὰ ἄλλα
καὶ ἡ φύσις κατὰ ῥάβδους ποιοῦσιν ἐν κύπρῳ αὐτὴν καθ᾽ αὑ-
τὴν πολλάς. εὑρίσκονται δὲ σπάνιαι μέγεθος ἔχουσαι σφραγῖ
δος· ἀλλ᾽ ἐλάττους αἱ πολλαί· διὸ καὶ πρὸς τὴν κόλλησιν αὐτῇ χρῶν
ται τοῦ χρυσίου· κολλᾷ γὰρ ὥσπερ ἡ χρυσοκόλλα. καὶ ἔνιοί γε δὴ
καὶ ὑπολαμβάνουσι τὴν αὐτὴν φύσιν εἶναι· καὶ γὰρ τὴν χρόαν πα
ρόμοια τυγχάνουσιν. ἀλλ᾽ ἡ μὲν χρυσοκόλλα δαψιλὴς καὶ ἐν τοῖς
χρυσείοις. καὶ ἔτι μᾶλλον ἐν τοῖς χαλκορυχείοις ὥσπερ ἐν τοῖς πε
ρὶ τοὺς τόπους· ἡ δὲ σμάραγδος σπανία καθάπερ εἴρηται. δοκεῖ γὰρ ἐκ
τῆς ἰάσπιδος γίνεσθαι· φασὶ γὰρ εὑρεθῆναί ποτε ἐν κύπρῳ λίθον, ἧς τὸ
μὲν ἥμισυ σμάραγδος ἦν, τὸ ἥμισυ δὲ ἴασπις· ὡς οὔπω μεταβε
βληκυίας ἀπὸ τοῦ ὕδατος. ἔστι δέ τις αὐτῆς ἐργασία πρὸς τὸ λαμ
πρόν· ἀργὴ γὰρ

Sardiú
Iaspis
Sapphirus
Smaragdú conducere ad oculos
De Smaragdi ingenti magnitudine
Obeliscus iouis
Templú tyrij herculis
Smaragdi ubi inueniátur
Chrysocolla



πρόν· ἀργὴ γὰρ οὖσα οὐ λαμπρά. αὕτη τε δὴ περιττὴ τῇ δυνά-
μει καὶ τὸ λυγγούριον, καὶ γὰρ ἐκ τούτου γλύφεται τὰ σφραγίδια.
καὶ ἔστι στερεωτάτη καθάπερ λίθος· ἕλκει γὰρ ὥσπερ τὸ ἤλεκ-
τρον· οἱ δέ φασιν οὐ μόνον κάρφη καὶ ξύλον· ἀλλὰ καὶ χαλκὸν καὶ σί
δηρον ἐὰν ᾖ λεπτός· ὥσπερ καὶ διοκλῆς ἔλεγεν. ἔστι διαφανής τε
σφόδρα καὶ ψυχρά. βέλτιον δὲ τὸ τῶν ἀγρίων ἢ τὸ τῶν ἡμέρων.
καὶ τὸ τῶν ἀρρένων ἢ τὸ τῶν θηλειῶν· ὡς καὶ τῆς τροφῆς διαφερού-
σης, καὶ τοῦ πονεῖν ἢ μὴ πονεῖν. τὸ δ᾽ ὑγρότερον εὑρίσκουσι δὲ κατορύτ
τοντος οἱ ἔμπειροι· κατακρύπτεται γὰρ καὶ ἐπαμᾶται τὴν ὅταν
εὑρήσῃ· γίνεται δὲ καὶ κατεργασία τις αὐτοῦ πλείων. ἐπεὶ δὲ καὶ τὸ ἤλε
κτρον λίθος· καὶ γὰρ ὀρυκτὸν τὸ περὶ λιγυστικήν· καὶ τούτῳ ἂν ἡ τοῦ ἕλκειν δύ
ναμις ἀκολουθείη. μάλιστα δ᾽ ὅτι δῆλον καὶ φανερωτάτη τὸν σί
δηρον ἄγουσι. γίνεται δὲ καὶ αὕτη σπανία καὶ ὀλιγαχοῦ. καὶ αὕτη
μὲν δὴ συναριθμείσθω τὴν δύναμιν ὁμοίαν ἔχειν. ἐξ ὧν δὲ τὰ
σφραγίδια ποιεῖται καὶ ἄλλαι πλείους εἰσίν· οἷον ἡ ὑαλοειδής, ἣ καὶ
ἔμφασιν ποιεῖ καὶ διάφασιν. καὶ τὸ ἀνθράκιον· καὶ ἡ ὄμφαξ·
ἔτι δὲ καὶ ἡ κρύσταλλος καὶ τὸ ἀμέθυσον· ἄμφω δὲ διαφανῆ. εὑ
ρίσκονται δὲ καὶ αὗται καὶ τὸ σάρδιον διακοπτομένων τινῶν
πετρῶν. καὶ ἄλλαι δ᾽ ὡς προείρηται πρότερον διαφορὰς ἔχουσαι
καὶ συνώνυμοι πρὸς ἀλλήλας. τοῦ γὰρ σαρδίου τὸ μὲν διαφα-
νὲς ἐρυθρότερον δέ, καλεῖται θῆλυ· τὸ δὲ διαφανὲς μέν, με-
λάντερον δὲ ~~καὶ~~ ἄρσεν· καὶ τὰ λυγγούρια δ᾽ ὡσαύτως· ὧν τὸ θῆ
λυ διαφανέστερον καὶ ξανθότερον. καλεῖται δὲ καὶ κυανὸς ὁ
μὲν ἄρρην· ὁ δὲ θῆλυ· μελάντερος δὲ ὁ ἄρρην. τὸ δὲ ὀνύχιον μι-
κτὴ λευκῷ καὶ φαιῷ παράλληλα. τὸ δ᾽ ἀμέθυσον, οἰνωπὸν τῇ χρόᾳ.
καλὸς δὲ λίθος καὶ ὁ ἀχάτης, ὁ ἀπὸ τοῦ ἀχάτου ποταμοῦ τοῦ ἐν σικελίᾳ· καὶ πω
λεῖται τίμιος. ἐν λαμψάκῳ δέ ποτε ἐν τοῖς χρυσείοις εὑρέθη θαυ-
μαστὴ λίθος ἐξ ἧς ἀνενεχθείσης πρὸς στρατὴν σφραγίδιον γλυ-
φὲν ἀνεπέμφθη βασιλεῖ διὰ τὸ περιττόν. καὶ αὗται μὲν
ἅμα τῷ καλῷ καὶ τὸ σπάνιον ἔχουσιν. αἱ δὲ δὴ ἐκ τῆς ἑλλάδος,



Lyngurium trahere ad se paleas & lignú immo & aes & ferrú
Diocles
Electrú fosile
Anthracú
Omphax
Crystallus
Amethysum
Sardiú & eius species
Lyngurium
Cyanus
Onychiú
Amethysi color
οἰνωπόν
Achates lapis unde
Achates fl. Siciliȩ
Lampsacus N.

εὐτελέστεραι· οἷον τὸ ἀνθράκιον τὸ ἐξ Ἐρχομενοῦ τῆς Ἀρκαδίας· ἔστι δ' οὗτος μελάντερος τοῦ Χίου· καθὸ ἐξ αὐτοῦ ποιοῦσι, καὶ ὁ Τροιζήνιος· οὗτος δὲ ποικίλος, τὰ μὲν φοινικοῖς, τὰ δὲ λευκοῖς χρώμασι· ποικίλος δὲ καὶ ὁ Κορίνθιος τοῖς αὐτοῖς χρώμασι, πλὴν τὸ χλωροειδέστερον τὸ δ' ὅλον. πολλοὶ τυγχάνουσιν οἱ τοιοῦτοι. αἱ δὲ περιτταὶ σπάνιοι καὶ ἐξ ὀλίγων τόπων, οἷον ἔκ τε Καρχηδόνος καὶ ἐκ τῶν περὶ Μασσαλίαν, καὶ ἐξ Αἰγύπτου καὶ τοὺς Καταδούπους, καὶ Συήνην πρὸς Ἐλεφαντίνῃ πόλει, καὶ ἐκ τῆς Ψεφὼ καλουμένης χώρας. κἀν Κύπρῳ ἥ τε σμάραγδος καὶ ἡ ἴασπις· οἷς δὲ εἰς τὰ λιθόκολλα χρῶνται ἐκ τῆς Βακτριανῆς εἰσὶ πρὸς τῇ ἐρήμῳ· συλλέγουσι δ' αὐτοὺς ὑπὸ τοὺς ἐτησίας ἱππεῖς ἐξιόντες· τότε γὰρ ἐμφανεῖς γίνονται κινουμένης τῆς ἄμμου διὰ τὸ μέγεθος τῶν πνευμάτων· εἰσὶ δὲ μικροὶ καὶ οὐ μεγάλοι. τῶν σπουδαζομένων δὲ λίθων ἐστὶ καὶ ὁ μαργαρίτης καλούμενος· διαφανὴς μὲν τῇ φύσει· ποιοῦσι δ' ἐξ αὐτοῦ τοὺς πολυτελεῖς ὅρμους· γίνεται δὲ ἐν ὀστρέῳ τινὶ παραπλησίῳ ταῖς πίνναις· φέρει δ' ἥ τε Ἰνδικὴ χώρα καὶ νῆσοί τινες τῶν ἐν τῇ Ἐρυθρᾷ. τὸ μὲν οὖν περιττὸν σχεδὸν ἐν αὐταῖς. εἰσὶ δὲ καὶ ἄλλαι τινές, οἷον ὅ τε ἐλέφας ὁ ὀρυκτός, ποικίλος μέλανι καὶ ἣν καλοῦσι σάπφειρον· αὕτη γὰρ μέλαινα οὐκ ἄγαν πόρρω τοῦ κυανοῦ τοῦ ἄρρενος, καὶ πρασῖτις· αὕτη δὲ ἰώδης τῇ χρόᾳ. πυκνὴ δὲ καὶ ἡ αἱματῖτις· αὕτη δ' αὐχμώδης ἢ κατὰ τοὔνομα ὡς αἵματος ξηροῦ πεπηγότος. ἄλλη δ' ἡ καλουμένη ἡ ξανθὴ μὲν τὴν χρόαν, ἔκλευκος δ' ὃ μᾶλλον καλοῦσι χρῶμα οἱ Δωριεῖς ξανθόν. τὸ γὰρ κουράλιον καὶ γὰρ τοῦθ' ὥσπερ λίθος τῇ χρόᾳ μὲν ἐρυθρόν, περιφερὲς δ' ὡς ἂν ῥίζα· φύεται δὲ ἐν τῇ θαλάττῃ, τρόπον δέ τινα οὐ πόρρω τούτου τῇ φύσει καὶ ὁ Ἰνδικὸς κάλαμος ἀπολελιθωμένος. ταῦτα μὲν οὖν ἄλλης σκέψεως. τῶν δὲ λίθων πολλαί τινες αἱ φύσεις καὶ τῶν μεταλλευομένων· ἔνια γὰρ ἅμα χρυσὸν ἔχουσι καὶ ἄργυρον, προφανῆ δὲ μόνον ἄργυρον· βαρύτεραι δ' αὗται πολὺ καὶ τῇ ῥοπῇ καὶ τῇ ὀσμῇ. καὶ κύανος αὐτοφυὴς ἔχων ἐν ἑαυτῷ χρυσοκόλλαν.

λαν· ἄλλη

Anthracini Arcadiae
Chius
Troezenius
Corinthius
Carthago
Massilia
Aegypto
Catadupa
Syene
Elephantine
Psepho regio
Smaragdus
Jaspis
Lithocolla
Bactriana regio
Margarites lapis ubi nascitur
Elephas orectos
Sapphirus
Cyanus
Sapphirus
Prasitis
Hematitis
Xanthe
ξανθοί apud dores qd
Curalio
Indicus calamus
Cyanos
Chrysocolla



λαν· ἄλλη δὲ λίθος ὁμοία τὴν χρόαν τοῖς ἄνθραξι, βάρος δὲ ἔχουσι πόλον ἐν τοῖς μετάλλοις. πλεῖσται δὲ ἰδιώταται φύσεις ἐν ἐκείνοις τῶν τοιούτων· ὧν τὰ μέν εἰσι γῆς, καθάπερ ὤχρα καὶ μίλτος· τὰ δὲ οἷον ἄμμος, καθάπερ χρυσοκόλλα καὶ κυανός· τὰ δὲ κονίας, οἷον σανδαράκη καὶ ἀρρενικὸν, καὶ ὅσα ὅμοια τούτοις. καὶ τῶν μὲν τοιούτων πλείους ἄν τις λάβοι τὰς ἰδιότητας. ἔνιαι δὲ λίθοι καὶ τὰς τοιαύτας ἔχουσι δυνάμεις, εἰς τὸ μὴ πάσχειν ὥσπερ εἴπομεν, οἷον τὸ μὴ γλύφεσθαι σιδηρείοις, ἀλλὰ λίθοις ἑτέροις. ὅλως μὲν ἡ κατὰ τὰς ἐργασίας καὶ τῶν μειζόνων λίθων πολλὴ διαφορά. πριστοὶ γάρ, οἱ δὲ γλυπτοί, καθάπερ ἐλέχθη, καὶ τορνευτοὶ τυγχάνουσι, καθάπερ καὶ ἡ μαγνῆτις αὕτη λίθος, ἣ καὶ ὄψει περιττὸν ἔχουσα, καὶ ὥς γε δή τινες θαυμάζουσι τὸ ὁμοίωσιν τῷ ἀργύρῳ μηδαμῶς οὖσαν συγγενῆ. πλείους δ' εἰσὶν οἱ δεχόμενοι πάσας τὰς ἐργασίας. ἐπεὶ καὶ ἐν Σίφνῳ τοιοῦτός τις ἐστὶν ὀρυκτός, ὡς τρία στάδια ἀπὸ θαλάττης, στρογγύλος καὶ βόλασος· καὶ τορνεύεται καὶ γλύφεται διὰ τὸ μαλακόν, ὅταν πυρωθῇ τῷ ἐλαίῳ μέλας τε σφόδρα γίνεται καὶ σκληρός. ποιοῦσι δ' ἐξ αὐτοῦ σκεύη τὰ ἐπιτραπέζια. οἱ μὲν τοιοῦτοι πάντες προσδέχονται τὴν τοῦ σιδήρου δύναμιν. ἔνιοι δὲ λίθοις ἄλλοις γλύφονται, σιδήροις δ' οὐ δύνανται, καθάπερ εἴπομεν. οἱ δὲ σιδήροις μὲν ἀμ

δὲ καὶ εἰ-
σὶν παραπλησίως δὲ κάτω τὰ μὴ τέ-
μνεσθαι σιδήρῳ καίτοι στερεὸν ἔτι

ἰσχυρότερα τέμνει καὶ σίδηρος λίθου σκληρότερος ὤν. ἄτοπον δὲ κἀκεῖνο φαίνεται, διότι ἡ μὲν ἀκόνη κατεσθίει τὸν σίδηρον, ὁ δὲ σίδηρος ταύτην μὲν δύναται διαιρεῖν καὶ ῥυθμίζειν, ἐξ ἧς δ' αἱ σφραγῖδες, οὔ. καὶ πάλιν ὁ λίθος ᾧ γλύφουσι τὰς σφραγῖδας ἐκ τοιούτου ἐστὶν ἐξ οὗπερ αἱ ἀκόναι, ἢ ἐξ ὁμοίου τούτῳ· ἄγεται δὲ ἡ ἐξ Ἀρμενίας. θαυμαστὴ δὲ φύσις καὶ τῆς βασανιζούσης τὸν χρυσόν· δοκεῖ γὰρ δὴ τὴν αὐτὴν ἔχειν τῷ πυρὶ δύναμιν· καὶ γὰρ ἐκεῖνο δοκιμάζει. διὸ καὶ ἀπορροῦσί τινες· οὐκ ἄγαν οἰκείως ἀπορροῦντες· οὐ γὰρ τὸν αὐτὸν τρόπον δοκιμάζει· ἀλλὰ τὸ μὲν πῦρ τῷ τὰ χρώματα μεταβάλλειν καὶ ἀλλοιοῦν, ὁ δὲ λίθος τῇ παρατρίψει. δύ-

Ochra
Miltos
Chrysocolla
Cyanos
Sandaraca
Arsenico. ἀρσενικόν
Magnetis lapis similis argento: subscribit theophrasto Sudas & item hesychi(us)
Orectos
Bolasos
ἀκόνη χάλυβι τοῦ σιδήρου
De lapide auri exploratore

κριθὴν
κόλλυβον
τεταρτημόριον
ἡμιόλιον ὀβολόν
Indices auri lapides ubi inueniantur
Tmolus fl.
Indicū lapidū pars superior ad explorandum praestatior

ναι· δοκεῖ γὰρ ὡς ἔοικεν ἐκλαμβάνειν τὴν ἑκάστου φύσιν. εὑρῆσθαι δέ φασιν νῦν ἀμείνω πολὺ τῆς πρότερον· ὥστε μὴ μόνον τὸν ἐκ τῆς καθάρσεως ἀλλὰ καὶ τὸν χαλκὸν καὶ χρυσὸν καὶ ἄργυρον γνωρίζειν, καὶ πόσον εἰς τὸν στατῆρα μέμικται· σημεῖα δέ ἐστιν αὐτοῖς ἀπὸ τοῦ ἐλαχίστου· ἐλάχιστον δὲ γίνεται κριθή, εἶτα κόλλυβον, εἶτα τεταρτημόριον ἢ ἡμιόβολον, ἐξ ὧν γνωρίζουσι τὸ καθῆκον. εὑρίσκονται δὲ τοιαῦται πᾶσαι ἐν τῷ ποταμῷ Τμώλῳ. λεία δὲ ἡ φύσις αὐτῶν καὶ ψηφοειδής, πλατεῖα, οὐ στρογγύλη· μέγεθος δὲ ὅσον διπλασία τῆς μεγίστης ψήφου. διαφέρει δ' αὐτῆς πρὸς τὴν δοκιμασίαν τὰ ἄνω πρὸς τὸν ἥλιον ἢ τὰ κάτω, καὶ βέλτιον δοκιμάζει τὰ ἄνω· τοῦτο δὲ διότι ξηρότερα τὰ ἄνω· κωλύει γὰρ ἡ ὑγρότης εἰς τὸ ἐκλαμβάνειν· ἐπειδὴ καὶ ἐν τοῖς καύμασι χεῖρον δοκιμάζει· ἀνίησι γάρ τινα νοτίδα ἐξ αὑτῆς, δι' ἣν ἀπολισθαίνει. συμβαίνει δὲ τοῦτο καὶ ἄλλοις τῶν λίθων, ἐξ ὧν τὰ ἀγάλματα ποιοῦσιν· ὃ καὶ σημεῖον ὑπολαμβάνουσιν ὡς ἴδιον τοῦ εἴδους. αἱ μὲν οὖν τῶν λίθων διαφοραὶ καὶ δυνάμεις σχεδὸν ἐν τούτοις. αἱ δὲ τῆς γῆς ἐλάττονες μέν, ἰδιώτεραι δέ. τὸ μὲν γὰρ τήκεσθαι καὶ μαλάττεσθαι καὶ πάλιν ἀποσκληρύνεσθαι καὶ ταύτῃ συμβαίνει· τήκεται μὲν γὰρ τοῖς χυτοῖς καὶ ὀρυκτοῖς ὥσπερ καὶ ὁ λίθος, μαλάττεται δέ, λίθους τε ποιοῦσιν· ὧν τάς τε ποικίλας καὶ τὰς ἄλλας συντιθέμενοι ἁπάσας γὰρ πυροῦντες καὶ μαλάττοντες ποιοῦσιν. εἰ δὲ καὶ ὁ ὕελος ἐκ τῆς ὑελίτιδος ὥς τινές φασι, καὶ αὕτη πυκνώσει γίνεται. ἰδιωτάτη δὲ ἡ τῷ χαλκῷ μιγνυμένη· πρὸς γὰρ τῷ τήκεσθαι καὶ μίγνυσθαι καὶ δύναμιν ἔχειν περιττήν, ὥστε τῷ κάλλει τῆς χρόας ποιεῖν διαφοράν. περὶ δὲ Κιλικίαν ἐστί τις ἣ ἕψεται καὶ γίνεται γλίσχρα· ταύτῃ δὲ ἀλείφουσι τὰς ἀμπέλους ἀντὶ ἰξοῦ πρὸς τοὺς ἶπας. ἔστι δὲ λαμβάνειν καὶ ταύτας τὰς διαφορὰς ὅσαι πρὸς τὴν ἀπολίθωσιν εὐφυεῖς. ἐπεὶ αἵ γε χοῦς τούτων ποιοῦσαι χυμοὺς διαφόρους ἀλλήλων πλείους ἔχουσαι φύσιν, ὥσπερ καὶ αἱ τῶν φυτῶν. ἀλλὰ μᾶλλον αὗται τοῖς χρώμασι δι'

ὕελος
ὑελίς
Cilicia
ἶπας

αἰσθήσεις οἷς περ



αἰσθήσεις οἷς περ καὶ οἱ γραφεῖς χρῶνται. καὶ ἡ γένεσις τούτων ὥσπερ ἐξ ἀρχῆς εἴπομεν ἤτοι συρροῆς τινος ἢ διηθήσεως γινομένης. καὶ ἔνια δὲ φαίνεται πεπυρωμένα καὶ οἷον κατακεκαυμένα, οἷον ἥ τε σανδαράκη καὶ τὸ ἀρρενικὸν καὶ τὰ ἄλλα τὰ τοιαῦτα. πάντα δ' ὡς ἁπλῶς εἰπεῖν ἀπὸ τῆς ἀναθυμιάσεως ταῦτα τῆς ξηρᾶς καὶ καπνώδους. εὑρίσκεται δὲ πάντα ἐν τοῖς μετάλλοις τοῖς ἀργυρείοις καὶ χρυσείοις. ἔνια δὲ καὶ ἐν τοῖς χαλκορυχείοις, οἷον ἀρρενικόν, σανδαράκη, χρυσόκολλα, μίλτος, ὤχρα, κυανός. ἐλάχιστος δὲ οὗτος καὶ κατ' ἐλάχιστα. τῶν δ' ἄλλων τῶν μὲν εἰσὶ ῥάβδοι, τὴν δὲ ὤχραν ἀθρόαν πως φαντασίαν ἔχειν. μίλτον δὲ παντοδαπήν, ὥστε εἰς τὰ ἀνδρείκελα χρῆσθαι τοῖς γραφεῦσι· καὶ ὤχραν ἀντὶ τοῦ ἀρρενικοῦ διὰ τὸ μηδὲν τῇ χρόᾳ διαφέρειν, ἐκεῖνο δὲ πάλαι μίλτου τε καὶ ὤχρας ἐστὶν ἐνιαχοῦ μέταλλα, καὶ κατὰ ταὐτά, καθάπερ ἐν Καππαδοκίᾳ καὶ ὀρύττεται πολλή. χαλεπὸν δὲ τοῖς μετάλλοις φασὶν εἶναι τὸ πνίγεσθαι· ταχὺ γὰρ καὶ ἐν ὀλίγῳ τοῦτο ποιεῖ. βελτίστη δὲ ἡ μίλτος ἡ Κεία εἶναι δοκεῖ. πλείους δ' ἐκ τῶν μετάλλων, ἐπειδὴ καὶ τὰ σιδήρεια ἔχει μίλτον. ἀλλὰ καὶ ἡ Λημνία, καὶ ἣν καλοῦσι Σινωπικήν· αὕτη δέ ἐστιν ἡ Καππαδοκική, κατάγεται δ' εἰς Σινώπην. ἐν δὲ τῷ μικρῷ μετάλλῳ ... αὐτῆς γένη τρία· ἡ μὲν ἐρυθρὰ σφόδρα, ἡ δὲ ἔκλευκος, ἡ δὲ μέση. ταύτην αὐτάρκη καλοῦσιν, διὰ τὸ μὴ μίγνυσθαι, τὰς δ' ἑτέρας μιγνύουσι. γίνεται δὲ καὶ ἐκ τῆς ὤχρας κατακαιομένης, ἀλλὰ χείρων. τὸ δὲ εὕρημα Κυδίου, συνεῖδε γὰρ ἐκεῖνος ὥς φασι κατακαυθέντος τινὸς πανδοχείου, τὴν ὤχραν ἰδὼν ἡμίκαυστον καὶ φοινικιζομένην. τιθέασι δ' εἰς τὰς καμίνους χύτρας λεπὰς περιπλάσαντες πηλῷ· ὀπτῶσι δὲ διάπυρα ποιοῦντες· ὅσῳ δ' ἂν μᾶλλον πυρωθῶσι, τοσούτῳ μᾶλλον μελαντέραν καὶ ἀνθρακωδεστέραν ποιοῦσι. μαρτυρεῖ δ' ἡ γένεσις αὐτοῦ· δόξειε γὰρ ἂν τὸ ὑπὸ πυρὸς ἅπαντα ταῦτα μεταβάλλειν· εἴπερ ὁμοίαν ἢ παραπλησίαν δεῖ τὴν ἐνταῦθα τῇ φυσικῇ νομίζειν. ἔστι δ' ὥσπερ καὶ μίλτος ἡ μὲν αὐτόματος ἡ δὲ τεχνική, καὶ κυανός, ὁ μὲν αὐτοφυής, ὁ δὲ σκευαστός, ὥσπερ ἐν Αἰγύπτῳ. γένη δὲ κυανοῦ τρία· ὁ Αἰγύπτιος

Sandaraca
Arsenicū
Arrhenicō
Sandaraca
Chrysocolla
Miltos
Ochra
Cyanos
Ochra ab Arsenico nihil colore differre
Milti & ochrae sunt alicubi metalla ut in cappadocia
Miltos cea optima
Limnia miltos, uocata optice. est autē in cappadocia & defert[ur] synopē
Sinopicū miniū
Minij genera tria
πανδοχείου
Cydius
Cyanos
Cyani genera 3.

καὶ σκυθικός. ἄριστος ὁ κύπριος. βέλτιστος δ' ὁ αἰγύπτιος εἰς τὰ ἄ-
κρατα λειώματα. ὁ δὲ σκυθικὸς εἰς τὰ ὑδαρέστερα. σκευαστὸς δ' ὁ
αἰγύπτιος. καὶ οἱ γράφοντες τὰ περὶ τοὺς βασιλέας, καὶ τοῦτο γρά-
φουσι τίς πρῶτος βασιλεὺς ἐποίησε χυτὸν κυανὸν μιμησάμενος τὸν
αὐτοφυῆ. δῶρά τε πέμπεσθαι παρ' ἄλλων τε καὶ ἐκ φοινίκης φό-
ρον κυανοῦ. τοῦ μὲν ἀπύρου, τοῦ δὲ πεπυρωμένου. φασὶ δ' οἱ τὰ

*Cyanos ex se ipso quattuor colores facere*

φάρμακα τρίβοντες τὸν μὲν κυανὸν ἐξ ἑαυτοῦ ποιεῖν χρώματα τέ-
τταρα. τὸ μὲν πρῶτον ἐκ τῶν λεπτοτάτων λεπτότατον, τὸ δὲ δεύτερον

*Gichne*

ἐκ τῶν παχυτάτων μελάντατον. ταῦτά τε δὴ τέχνῃ γίνεται. καὶ ἔτι

*Psimithio quomodo fiat*

τὸ ψιμύθιον. τίθεται γὰρ μόλιβδος ὑπὲρ ὄξους ἐν πίθοις. ὅταν δὲ λά-
βῃ πάχος ἡλίκον πλίνθος (λαμβάνει δὲ μάλιστα ἐν ἡμέραις δέ-
κα) τότ' ἀνοίγουσιν εἶτ' ἀποξύουσιν ὥσπερ εὐρῶτά τινα ἀπ' αὐτοῦ. καὶ
πάλιν μέχρις ἂν καταναλώσωσι. τὸ δ' ἀποξυόμενον, ἐν τριπτῆρι τρί-
βουσι, καὶ ἀφηθοῦσιν ἀεί. τὸ δ' ἔσχατον ὑφιστάμενόν ἐστι τὸ ψιμύθιον. πα-

*ios quomodo fit*

ραπλησίως δὲ καὶ ὁ ἰὸς γίνεται. χαλκὸς γὰρ ἐρυθρὸς ὑπὲρ τρυγὸς τίθε-
ται. καὶ ἀποξύεται τὸ ἐπιγινόμενον. οὕτω ἐπιφαίνεται τιθέμενος. γίνε-
ται δὲ καὶ κιννάβαρι. τὸ μὲν αὐτοφυές. τὸ δὲ κατ' ἐργασίαν. αὐτο-

*Cinnabari quomodo fiat*

φυὲς μὲν τὸ περὶ ἰβηρίαν σκληρὸν σφόδρα καὶ λιθῶδες. καὶ τὸ ἐν κόλ-

*Iberia*

χοις. τοῦτο δέ φασιν εἶναι κρημνῶν. ὃ καταβάλλουσι τοξεύοντες.

*Ephesus*

τὸ δὲ κατ' ἐργασίαν ὑπὲρ ἐφέσου μικρὸν ἐξ ἑνὸς τόπου. μόνον δ'
ἐστὶν ἄμμος, ἣν συλλέγουσι λαμπυρίζουσαν καθάπερ, ὁ κόκκος.
ταύτην δὲ τρίψαντες ὅλως ἐν ἀγγείοις λιθίνοις λεπτοτάτην πλύ-
νουσιν ἐν χαλκοῖς μικρὸν ἐν καδίσκοις. τὸ δ' ὑφιστάμενον πάλιν λαβόν-
τες, πλύνουσι καὶ τρίβουσιν, ἐν ᾧπερ ἐστὶ τὸ τῆς τέχνης. οἱ μὲν γὰρ
ἐκ τοῦ ἴσου πολὺ περιποιοῦσιν. οἱ δὲ ὀλίγον ἢ οὐθέν. ἀλλὰ πλύματι
ἐπάνω χρῶνται ἐν πρὸς ἓν ἀλείφοντες. γίνεται δὲ τὸ μὲν ὑφιστάμενον
κάτω, κιννάβαρι. τὸ δ' ἐπάνω καὶ πλεῖον πλύμα. καταδεῖξαι

*Callias atheniensis*

δέ φασι καὶ εὑρεῖν τὴν ἐργασίαν· Καλλίαν τινὰ ἀθηναῖον ἐκ τῶν ἀρ-
γυρείων. ὃς οἰόμενος ἔχειν τὴν ἄμμον χρυσίον διὰ τὸ λαμπυρίζειν
ἐπραγματεύετο καὶ συνέλεγεν. ἐπεὶ δ' ᾔσθετο ὅτι οὐκ ἔχει, τὸ δὲ τῆς ἄμ-

μου κάλλος



μου κάλλος ἐθαύμαζε διὰ τὴν χρόαν, οὕτως ἐπὶ τὴν ἐργασίαν ἦλ-
θε ταύτην. οὐ παλαιὸν δ' ἐστὶν. ἀλλὰ περὶ ἔτη μάλιστα ἐνενή-

*Praxibulos*

κοντα εἰς ἄρχοντα Πραξίβουλον ἀθήνησι. φανερὸν δ' ἐκ τούτων. ὅτι 5
μιμεῖται τὴν φύσιν ἡ τέχνη τὰ δ' ἴδια ποιεῖ. καὶ τούτων τὰ μὲν χρήσεως χάριν.

*Ars imitatur natura propria aute & peculiaria facit*

τὰ δὲ μόνον φαντασίας ὥσπερ τὰ ἀλείμματα. ἔνια δὲ ἴσως ἀμφοῖν. ὥσπερ χυ-
τὸν ἄργυρον. ἔστι γάρ τις χρεία καὶ τούτου. ποιεῖται δ' ὅταν τρι-
φθῇ μετ' ὄξους ἐν ἀγγείῳ χαλκῷ καὶ δοίδυκι χαλκῷ. τὰ μὲν οὖν τοιαῦ-
τα τάχ' ἄν τις λάβοι πλείω. τῶν δὲ μεταλλευτῶν τὰ ἐν τοῖς γεωφανέσιν ἔ-
τι λοιπά περὶ ὧν ἡ γένεσις ὥσπερ ἐλέχθη κατ' ἀρχὰς ἐκ συρροῆς 9
τινος καὶ ἐκκρίσεως γίνεται καθαρωτέρας καὶ ὁμαλωτέρας τῶν ἄλλων.
χρώματα δὲ παντοῖα λαμβάνουσι. καὶ διὰ τὴν τῶν ὑποκειμένων
διὰ τῶν […] όντων διαφοράν, ἐξ
ὧν τὰς μὲν μελαντῶντες τὰς δὲ τήκοντες καὶ τρίβοντες, συντιθέ-
ασι τὰς λίθους τὰς ἐκφλιάσι ταύτας ἀγομένας. αἱ δ' αὐτοφυεῖς
ἅμα τῷ περιττῷ τὸ χρήσιμον ἔχουσαι, σχεδὸν τρεῖς εἰσὶν ἢ τέττα-

*Milias*
*Cimolia*
*Samia*
*Stymphaice*
*Gypsi*

ρες. ἥ τε μηλιάς, καὶ ἡ κιμωλία, καὶ ἡ σαμία, καὶ ἡ συμφαϊκή. καὶ τε-
τάρτη παρὰ ταύτας ἡ γύψος. χρῶνται δὲ οἱ γραφεῖς τῇ μηλιάδι μό-
νον τῆς μιᾶς δ' οὔ. καίπερ οὔσῃ καλῇ διὰ τὸ λίπος ἔχειν καὶ πυκνό-
τητα. καὶ λειότητα, τὸ γὰρ ἠρεμον καὶ […] δες καὶ ἁλιπὲς ἐπὶ τῆς
γραφῆς ἁρμόττει μᾶλλον. ὅπερ ἡ μηλιὰς ἔχει. φασὶ δ' εἶναι καὶ ἐν τῇ

*Melos*
*Samos* > *insulae*

μήλῳ καὶ ἐν τῇ σάμῳ διαφορὰς τῆς γῆς πλείους. ὀρύττοντα μὲν
οὖν οὐκ ἔστιν ὀρθὸν στῆναι ἐν τοῖς ἐν σάμῳ. ἀλλ' ἀναγκαῖον ὕπτιον, ἢ πλά-
γιον. ἡ δὲ φλὲψ ἐπὶ πολὺ διατείνει. τὸ μὲν ὕψος ἡλίκην δύο πόδας. τὸ δὲ
βάθος πολλῷ μεῖζον. ἐφ' ἑκάτερα δ' αὐτὴν λίθοι περιέχουσιν ἐξ
ὧν ἐξαιρεῖται. διαφυὴν ἔχει διὰ μέσου καὶ ἡ διαφυὴ βελτίων ἐστὶ
τῶν ἔξω. καὶ πάλιν ἑτέραν αὐτῇ καὶ ἑτέραν

*Aster .i. stella*

τα ἔχει. τεττάρων ἐστὶν ἡ ἐσχάτη καλεῖται ἀστήρ. χρῶνται δὲ

*Typhice*

τῇ γῇ πρὸς τὰ ἱμάτια μάλιστα ἢ μόνον. χρῶνται δὲ τῇ τυ-

*Gypsos*

φικῇ πρὸς τὰ ἱμάτια καὶ καλοῦσι γύψον. οἱ περὶ θεάτων
δὲ καὶ τοὺς τόπους ἐκείνους. ἡ δὲ γύψος γίνεται πλείστη μὲν ἐν κύ-

*Gypsos optima ubi*

πρῳ καὶ περιφανεστάτη. μικρὸν γὰρ ἀφαιροῦσι τῆς γῆς ὀρύτ-

Phoenice
Syria
Thurij
Tymphetz
Peraebia
Alabastrites

τοῦ τις. ἐν Φοινίκῃ δὲ καὶ ἐν Συρίᾳ καίοντες τοὺς λίθους ποιοῦσιν. ἔπειτα τὰ δὲ ἐν Θουρίοις. καὶ ἐκεῖ γίνεται πολλή· καὶ περὶ τὴν Τυμφαίαν καὶ περὶ Περαιβίαν, καὶ κατ' ἄλλους τόπους. ἡ δὲ φύσις αὐτῶν ἰδία· λιθωδεστέρα γὰρ μᾶλλον ἐστὶν ἢ γεώδης. ὁ δὲ λίθος ἐμφερὴς τῷ ἀλαβαστρίτῃ· μέγας δ' οὐ τέμνεται, ἀλλὰ χαλικώδης. ἡ δὲ γλισχρότης καὶ θερμότης ἐγχυθέντος μάλιστα χρῶνται δὲ πρὸς τὰ οἰκοδομήματα τοῦτον τὸν λίθον περιχέοντες, κἄν τι ἄλλο βούλωνται τοιοῦτο κολλῆσαι. κόψαντες δὲ καὶ ὕδωρ ἐπιχέοντες, ταράττουσι ξύλοις· τῇ χειρὶ γὰρ οὐ δύνανται διὰ τὴν θερμότητα. βρέχουσι δὲ παραχρῆμα πρὸς τὴν χρείαν· ἐὰν δὲ μικρὸν πρότερον, ταχὺ πήγνυται, καὶ οὐκ ἔστι διελεῖν. θαυμαστὴ δὲ καὶ ἡ ἰσχύς· ὅτε γὰρ οἱ λίθοι ῥήγνυνται καὶ διαφέρονται, ἡ δὲ μος αὐτὴ οὐ· πολλάκις δὲ καὶ τὰ μὲν πέπτωκε καὶ ὑφῄρηται, τὰ δὲ ἄνω κρεμάμενα καὶ συνέχεται τῇ κολλήσει. δύνανται δὲ καὶ ὑφαιρούμενον πάλιν καὶ πάλιν ὀπτᾶσθαι καὶ γίνεσθαι χρήσιμον. περὶ μὲν οὖν Κύπρον καὶ Φοινίκην εἰς ταῦτα μάλιστα, περὶ δὲ Ἰταλίαν καὶ εἰς τὸν οἶνον. καὶ οἱ γραφεῖς ἐνίοις τῶν πρὸς τὴν τέχνην. ἔτι δὲ οἱ κναφεῖς ἐμπάττοντες εἰς τὰ ἱμάτια. διαφέρειν δὲ δοκεῖ καὶ πρὸς τὰ ἀπομάγματα πολὺ τῶν ἄλλων· εἰς ὃ καὶ χρῶνται μᾶλλον, καὶ μάλιστα οἱ περὶ τὴν Ἑλλάδα. ἡ μὲν οὖν δύναμις ἐν τούτοις καὶ τοῖς τοιούτοις· ἡ δὲ φύσις ἔοικεν ἀμφότερα πως ἔχειν καὶ τὰ τῆς κονίας καὶ τὰ τῆς γῆς· θερμότητα καὶ γλισχρότητα· μᾶλλον δὲ ἑκατέρας ὑπερέχουσα, θερμοτέρα γὰρ τῆς κονίας, γλισχροτέρα δὲ πολὺ τῆς γῆς. ὅτι δὲ ἔμπυρος, κἀκεῖθεν φανερόν· ἤδη γάρ τις ναῦς ἱματηγὸς βρεχθέντων τῶν ἱματίων ὡς ἐπυρώθη, συγκατεκαύθη καὶ αὐτή. καίουσι δὲ καὶ ἐν Φοινίκῃ καὶ ἐν Συρίᾳ καμινεύοντες αὐτήν· καὶ καίουσι δὲ μάλιστα τῶν μαρμάρων καὶ ἁπλουστέρους, στερεωτάτους μὲν παρατιθέντες τὰς βολίτου ὅπως καίηται θᾶττον καὶ μᾶλλον· δοκεῖ γὰρ θερμότατον εἶναι πυρωθέν, καὶ πλεῖστον χρόνον διαμένειν. ὀπτήσαντες δὲ κόπτουσιν ὥσπερ τὴν κονίαν· ἐκ τούτου δὲ φανερὸν ὅτι πυρώδης πως ἡ γένεσις αὐτῆς ὅλον ἐστίν. ~ΤΕΛΟΣ~

γναφεῖς ἐμπάττοντες εἰς τὰ ἱμάτια

---

Δ .i. quando simul occidente sole oritur aliqua stella. sive a parte occidentis sive a parte orientis. et ab . . . ense vocat chronicum ab occide 261 te heliacum. & ita bis duo orty videntur satisfacere

& ος. αὐτοὶ .i. nos

## ΠΕΡῚ ΣΗΜΕΊΩΝ ὙΔΆΤΩΝ ΚΑῚ ΠΝΕΥΜΆΤΩΝ

ἀνωνύμου ut liquet in principio

Σημεῖα ὑδάτων καὶ πνευμάτων καὶ χειμώνων καὶ εὐδιῶν ὧδε ἐγράψαμεν καθ' ὅσον ἦν ἐφικτόν· ἃ μὲν αὐτοὶ προσκοπήσαντες, ἃ δὲ παρ' ἑτέρων οὐκ ἀδοκίμων λαβόντες. τὰ μὲν οὖν ἐπὶ τοῖς ἄστροις δυομένοις καὶ ἀνατέλλουσιν, ἐκ τῶν ἀστρονομικῶν δεῖ λαμβάνειν. εἰσὶ δὲ δύσεις διτταί· εἰσὶ γὰρ ἀφανισμοὶ δύσεις εἰσί. τοῦτο δ' ἐστὶν ὅταν ἅμα συνδύνῃ τῷ ἡλίῳ τὸ ἄστρον, καὶ ὅταν ἀνατέλλοντι δύνῃ. ὁμοίως δὲ καὶ ἀνατολαὶ διτταί· αἱ μὲν ἑῷοι, ὅταν προανατέλλῃ τοῦ ἡλίου τὸ ἄστρον· αἱ δὲ ἀκρόνυχοι, ὅταν ἅμα δυομένῳ ἀνατέλλῃ. αἱ μὲν οὖν τοῦ Ἀρκτούρου λεγόμεναι ἀνατολαὶ ἀμφιτείεως συμβαίνουσιν· ἡ μὲν γὰρ τοῦ χειμῶνος ἀκρόνυχός ἐστιν, ἡ δὲ μετοπωρινὴ ἑῴα. τῶν δὲ ἄλλων αἱ πλεῖσται τῶν ὀνομαζομένων ἑῷαι, οἷον Πλειάδος καὶ Ὠρίωνος καὶ Κυνός. τὰ δὲ λοιπὰ τῶν σημείων ἔνια μὲν ἴδια κατὰ πάσας χώρας ἐστίν, ἐν ὅσαις ὄρη ὑψηλὰ καὶ αὐλῶνές εἰσι· μάλιστα δὲ ὅσα πρὸς θάλασσαν καθήκει τὰ ὑψηλά. τὰ γὰρ τῶν πνευμάτων ἀρχόμενα τὰ νέφη προσανίσταται πρὸς τοὺς τοιούτους τόπους· καὶ μεθισταμένων εἰς τοὐναντίον ἀντιμεθίσταται, ὑψηλότερα γινόμενα, διὰ βάρος εἰς τὰ κοῖλα συγκαθίζει. διὸ δεῖ προσέχειν, ὅτι αὐτοῖς ἴδιον μέν ὅσοι ἐστὶ, ἀεί τινα λαβεῖν πιστὸν γνώμονα· καὶ ἔστι σαφέστατα σημεῖα τὰ ἀπὸ τούτων. διὸ καὶ ἀγαθοὶ γεγόνασι κατὰ τόπους τινὰς ἀστρονόμοι ἔνιοι, οἷον Ματρικέτας ἐν Μηθύμνῃ ἀπὸ τοῦ Λεπετύμνου, καὶ Κλεόστρατος ἐν Τενέδῳ ἀπὸ τῆς Ἴδης, καὶ Φαεινὸς Ἀθήνησιν ἀπὸ τοῦ Λυκαβηττοῦ τὰ περὶ τὰς τροπὰς συνεῖδε· παρ' οὗ Μέτων ἀκούσας

Occasus duplex

Ortus duplex

ἀμφιτείως

Arcturi ortus quando

ἀκρόνυχος ἀνατολή .i. acronychus ortus pro quo imperiti astrologi dicunt chronicus & interpretantur temporalis

Pleiadu
Orionis
Canis
Orty

Matricetas
Cleostratus
Phaenos
Mento

Methymne
Lepetymnus
Tenedos
Ida
Lycabetos

σας τὸν ἑνὸς δέοντα εἴκοσιν ἐνιαυτῶν συνέταξεν. ἦν δὲ ὁ μὲν
Φαεινὸς μέτοικος Ἀθήνησιν· ὁ δὲ Μέτων Ἀθηναῖος. καὶ ἄλ-
λοι δὲ τοῦτον τὸν τρόπον ἠστρολόγησαν. ἄλλα δέ ἐστι σημεῖα,
ἃ λαμβάνεται ἀπό τε ζώων καὶ τὴν κατοικίαν ἑτέρων τι-
νῶν τόπων καὶ παθημάτων. μάλιστα δὲ κυριώτατα ἀπὸ τοῦ
ἡλίου καὶ τῆς σελήνης. ἡ γὰρ σελήνη νυκτός, οἷον ἥλιός ἐστι. διὸ δὲ
αἱ σύνοδοι τῶν μηνῶν, χειμέριοί εἰσιν· ὅτι ἀπολείπει τὸ φῶς
τῆς σελήνης ἀπὸ τετράδος φθίνοντος μέχρι τετράδος ἱσταμέ-
νου· ὥσπερ οὖν ἡλίου ἀπόλειψις γίνεται, κατὰ τὸν ὅμοιον τρό-
πον καὶ τῆς σελήνης ἔκλειψις. δεῖ οὖν προσέχειν μάλιστα ταῖς
ἀνατολαῖς ταῖς τούτων καὶ ταῖς δύσεσιν ὁποῖαι ἂν ποιῶνται τὸν
βουλόμενον προγινώσκειν. πρῶτον μὲν οὖν ληπτέον ὅτι αἱ δι-
χοτομίαι διορίζουσι τὰς ὥρας· ὥστε ἐπὶ τούτων δεῖ ἀθρεῖν,
καὶ ἐνιαυτὸν καὶ μῆνα καὶ ἡμέραν. διχοτομεῖ δὲ τὸν μὲν ἐνιαυτὸν
πλειάς τε δυομένη καὶ ἀνατέλλουσα· ἀπὸ γὰρ δύσεως μέχρι ἀνατο-
λῆς τὸ ἥμισυ τοῦ ἐνιαυτοῦ ἐστιν· ὥστε δίχα τέμνεται ὁ πᾶς χρό-
νος. ὁμοίως δὲ καὶ αἱ τροπαὶ καὶ ἰσημερίαι ποιοῦσιν. διά
τις ἂν ἡ κατάστασις πλειάδος δυομένης, οὕτως ἔχει ὡς ἐπὶ
τὸ πολὺ μέχρι τροπῶν, κἂν μεταβάλλῃ, μετὰ τροπάς. ἐὰν
δὲ μὴ μεταβάλλῃ, δεῖ ἔχειν ἕως ἰσημερίας. κἀκεῖθεν ὡσαύτως
μέχρι πλειάδος. καὶ ἀπὸ ταύτης μέχρι τροπῶν θερινῶν. καὶ ἐν-
τεῦθεν μέχρι ἰσημερίας. καὶ ἀπὸ ἰσημερίας μέχρι πλειάδος
δύσεως. ὡσαύτως ἔχει καὶ περὶ τὸν μῆνα ἕκαστον. διχο-
τομοῦσι γὰρ αἵ τε πανσέληνοι, καὶ αἱ ὀγδόαι, καὶ αἱ τετρά-
δες. ὥστε ἀπὸ νουμηνίας ὡς ἀπ᾽ ἀρχῆς δεῖ σκοπεῖν. με-
ταβάλλει γὰρ ὡς ἐπὶ τὸ πολὺ ἐν τῇ γε τετράδι. ἐὰν δὲ μή, ἐν τῇ
ὀγδόῃ. εἰ δὲ μή, πανσελήνῳ. ἀπὸ δὲ πανσελήνου, εἰς ὀγδόην φθί-
νοντος. καὶ ἀπὸ ταύτης, εἰς τετράδα. ἀπὸ δὲ τετράδος εἰς
τὴν νουμηνίαν. ὡσαύτως καὶ ἐπὶ τῆς ἡμέρας ἔχουσιν αἱ με-
ταβολαὶ ὡς ἐπὶ τὸ πολύ. ἀνατολὴ γὰρ καὶ πρωῒ καὶ μεσημβρία,

καὶ δείλη· καὶ

*Phaenus*
*Mentó*
ἀπολείπει τὸ φῶς τῆς σελήνης ἀπὸ τετράδος φθίνοντος μέχρι τετράδος ἱσταμένου
διχοτομίαι
*Pliadis ortus & occasus annum bifariam dividit. plin. 18. libro.*
*Lunae mutationes*



καὶ δείλη· καὶ δύσις· καὶ τὰ τῆς νυκτὸς μέρη τὰ ἀνάλογα, ταὐ-
τὸ ποιεῖ τοῖς εἰρημένοις. περὶ πνευμάτων καὶ χειμῶνος καὶ
εὐδίας. μάλιστα γὰρ ἐὰν μέλλῃ μεταβάλλειν ἐν ταῖς διχοτομί-
αις μεταβάλλει. καθόλου μὲν οὖν τὰς ὥρας οὕτω δεῖ παρατη-
ρεῖν. καθ᾽ ἕκαστα δὲ τῶν σημείων, κατὰ τὸν ὑπογεγραμμένον τρό-
πον. ὕδατος μὲν οὖν σημεῖα τὰ τοιαῦτα δοκεῖ εἶναι· ἐναργέ-
στατον μὲν οὖν τὸ ἑωθινόν, ὅταν πρὸ ἡλίου ἀνατολῆς, φαίνοι-
το ἐπιφοινισσον σημεῖον. ἢ γὰρ αὐθημερινὸν ἐπισημαίνει, ἢ τρι-
ῶν ἡμερῶν ὡς ἐπὶ τὸ πολύ. δηλοῖ δὲ καὶ τὰ ἄλλα σημεῖα. ἐὰν γὰρ
δὴ πρότερον τριταῖα, μάλιστα σημαίνει τὸ ἐπιφοινισσον καὶ
δύνοντος. ἧττον δὲ ἢ τὸ ἑωθινοῦ. καὶ ἐὰν δύνῃ χειμῶνος ἢ
ἀέρος εἰς νεφέλιον, τριῶν ἡμερῶν ὡς τὰ πολλὰ ἐπισημαί-
νει. καὶ ἐὰν ῥάβδοι νοτόθεν, ταὐτὰ δὲ ταῦτα βορράθεν γινό-
μενα, ἀσθενέστερα. καὶ ἐὰν ἀνίσχων μέλαν σημεῖον ἴσχῃ καὶ ἐὰν
ἐκ νεφελῶν ἔχῃ ὑδατικόν. καὶ ἐὰν ἀκτῖνες ἀνίσχοντος, ἀνατεί-
νωσι πρὶν ἀνατεῖλαι, κοινὸν ὕδατος σημεῖον καὶ ἀνέμου. καὶ ἐὰν
καταφερομένου τοῦ ἡλίου ὑφίστηται νέφος, ὑφ᾽ οὗ ἐὰν σχίζων-
ται αἱ ἀκτῖνες, χειμερινὸν τὸ σημεῖον. καὶ ὅταν καυματίας δὲ ἦ
τὰ γὰρ ἀνατέλλῃ, ἐὰν μὴ ἄνεμος γίνηται ὕδατος τὸ σημεῖον. τὰ
αὐτὰ δὲ σημαίνει καὶ σελήνη πανσελήνῳ ἀνίσχουσα· ἀσθενέστερα δὲ
ὅμως. ἐὰν μὲν ἡ πυρώδης σημαίνει τὸν μῆνα. ἐὰν δὲ ζοφώδης, ὑδατώ-
δη. σημαίνει δέ, ὅτι ἂν σημαίνει τριταῖος ὢν ὅμως. ἀστέρες πολλοὶ
διάττοντες, ὕδατος ἢ πνεύματος, καὶ ὅθεν ἂν διάττωσιν, ἐντεῦθεν τὸ
πνεῦμα ἢ τὸ ὕδωρ ἔσται. καὶ ἐὰν ἀκτῖνες ἀθρόαι ἀνίσχωσιν, ἀνιόντος ἢ
σημεῖον, δύνοντος καὶ ὅταν ἀνίσχοντος τοῦ ἡλίου αἱ αὐγαὶ οἷον ἐκλείπον-
τος χρῶμα ἴσχωσιν, ὕδατος σημεῖον. καὶ ὅταν νεφέλαι πόκοις ἐρίων
ὅμοιαι ὦσιν, ὕδωρ σημαίνει. ὑετοῦ δὲ σημεῖα πομφόλυγες ἀνιστά-
μεναι πλείους ἐπὶ τῶν ποταμῶν, ὕδωρ σημαίνουσι πολύ· ὡς δὲ ἐπὶ τὸ
πολὺ ἶρις περιλύχνιον ἢ διὰ λύχνου διαφαινομένη, νότια ση-
μαίνει ὕδατος. καὶ οἱ μύκητες ἐὰν νότια ἦ· ὕδωρ σημαίνουσι. σημαί-

καθ᾽ ἕκαστα
*Solis Prognost.*
*Aquae signa & ventorum*
*Rubores aurorae*
*Virgae*
ἢ δύνῃ τε
*Lunae Prognost.*
*Stellarum transcurrentium signum*
νεφέλαι πόκοις ἐρίων ὅμοιαι
*Bullae*
*Iris circa lucernam*
*Fungi*

∴ ῥ. ἀπ' αὐτοῦ



νουσι δὲ καὶ ἄνεμον κατὰ λόγον, ἧς ἐὰν ἔχωσι πλήθους καὶ μεγέθους μικροὶ καὶ κεγχρώδεις καὶ λαμπροὶ ὕδωρ καὶ ἄνεμον. καὶ ὅταν χειμῶνος τὴν φλόγα ἀπωθῇ διαλιπὼν οἷον πομφολυγοῦσα, ὕδατος σημεῖον. καὶ ἐὰν ἐπιδῶσιν αἱ ἀκτῖνες εἰς ἐπαυγήν, καὶ ἐὰν ζέσις νύκτας ἐπιγίνωνται. ὄρνιθες λουόμενοι μὴ ἐν ὕδατι βιοῦντες, ὕδωρ ἢ χειμῶνας σημαίνουσι. καὶ φρύνη λουομένη, καὶ βάτραχοι μᾶλλον ᾄδοντες, σημαίνουσιν ὕδωρ. καὶ ἡ σαύρα φαινομένη, ἣν καλοῦσι σαλαμάνδραν. ἔτι δὲ καὶ χλωρὸς βάτραχος ἐπὶ δένδρου ᾄδων, ὕδωρ σημαίνει. χελιδόνες τῇ γαστρὶ τύπτουσαι τὰς λίμνας, ὕδωρ σημαίνουσι. βοῦς τὴν προσθίαν ὁπλὴν λείξας, χειμῶνα ἢ ὕδωρ σημαίνει. ἐὰν δὲ εἰς τὸν οὐρανὸν ἀνακύπτων ὀσφραίνηται, ὕδωρ σημαίνει. κορώνη ἐπὶ πέτρας κορυσσομένη, ἣν κῦμα κατακλύζει, ὕδωρ σημαίνει. καὶ κολυμβῶσα πολλάκις καὶ περιπετομένη, ὕδωρ σημαίνει. κόραξ πολλὰς μεταβάλλων εἰωθυίας φωνάς, τούτων ἐὰν ταχὺ δὶς φθέγξηται, καὶ ἐπιρροιζήσῃ καὶ τινάξῃ, ὕδωρ σημαίνει. καὶ ἐὰν ὑετοῦ ὄντος πολλὰς μεταβάλλῃ φωνάς, καὶ ἐὰν φθειρίζηται ἐπ' ἐλαίας. καὶ ἐάν τε ὠδίας. ἐάν τε ὕδατος ὄντος μιμῆται τῇ φωνῇ οἷον σταλαγμούς, ὕδωρ σημαίνει. ἐάν τε κόρακες ἐάν τε κολοιοί, ἅμα πέτωνται καὶ ἱερακίζωσιν, ὕδωρ σημαίνουσι. καὶ ἐὰν κόραξ ὠδίας, μὴ τὴν εἰωθυῖαν φωνὴν ἵῃ καὶ ἐπιρροιβδῇ, ὕδωρ σημαίνει. ἐὰν ἱέραξ ἐπὶ δένδρου καθεζόμενος, καὶ εἴσω εἰσπετόμενος φθειρίζηται, ὕδωρ σημαίνει. καὶ θέρους ὅταν πολλοὶ ἀθρόοι φανῶσιν ὄρνιθες, οἳ βιοτεύουσιν ἐν νήσῳ, ὕδωρ σημαίνουσιν. ἐὰν δὲ μέτριοι, ἀγαθὸν αἰξὶ καὶ βοτοῖς. ἐὰν δὲ πολλοὶ ὑπερβολῇ, αὐχμὸν ἰσχυρόν. ὅλως δὲ ὄρνιθες καὶ ἀλεκτρυόνες φθειριζόμενοι, ὑδατικὸν σημεῖον. καὶ ὅταν μιμῶνται ὕδωρ ὡς ὕον, καὶ ἡ νῆττα ἥμερος ὑποδῦσα ὑπὸ τὰ γεῖσα ἀποπτερυγίζηται, ὕδωρ σημαίνει. ὁμοίως δὲ καὶ κολοιοὶ καὶ ἀλεκτρυόνες. ἐάν τε ἐπὶ λίμνῃ ἢ θαλάττῃ ἀποπτερυγίζωνται ὡς νῆττα, ὕδωρ σημαίνει. καὶ ἐρωδιὸς ὄρθριον φθεγγόμενος, ὕδωρ ἢ πνεῦμα σημαίνει. καὶ ἐὰν ἐπὶ θά-

λατταν

∴ χρόνῳ forte

ὄρνιθες λουόμενοι
Phryne lota
Ranę magis coaxantes
Salamandra
Lacertus viridis
Hirundines
Bos
Cornix
Corvus
φθειρίζηται
σταλαγμούς
Corvi
Monedulę
ἱερακίζουσι
ἐπιρροιβδῇ
Accipiter
Gallinę
Galli
νῆττα · Anas
Monedulę
Galli
Erodius



λατταν πετόμενος βοᾷ, μᾶλλον ὕδατος σημεῖον ἢ πνεύματος. καὶ ὅλως βοῶν, ἀνεμῶδες. καὶ ὁ πῖλος ἐν οἰκίᾳ οἰκουμένῃ ἐὰν φθέγξηται ἕωθεν, ὕδωρ σημαίνει ἢ χειμῶνα. καὶ χύτρα σπινθηρίζουσα πᾶσα περὶ πόλεως, ὕδατος σημεῖον. καὶ ἴουλοι πολλοὶ πρὸς τοῖχον ἕρποντες, ὑδατικόν. δελφῖς παρὰ γῆν κολυμβῶν καὶ ἀναδυόμενος πυκνά, ὕδωρ ἢ χειμῶνα σημαίνει. ὑμηττὸς ὁ ἐλάττων ἄνυδρος καλούμενος, ἐὰν τῷ κοίλῳ νεφέλην ἔχῃ, ὕδατος σημεῖον. καὶ ἐὰν ὁ μέγας ὑμηττὸς θέρους λευκὰς ἔχῃ νεφέλας, ἄνωθεν καὶ ἐκ πλαγίου, ὕδατος σημεῖον. καὶ ἐὰν ὁ ἄνυδρος ὑμηττὸς λευκὰς ἔχῃ ἄνωθεν καὶ ἐκ πλαγίου. καὶ ἐὰν περὶ ἰσημερίαν λὶψ πνεύσῃ, ὕδωρ σημαίνει. αἱ δὲ βρονταὶ αἱ μὲν χειμεριναὶ καὶ ἑωθιναὶ μᾶλλον ὕδωρ σημαίνουσιν. αἱ δὲ θεριναὶ μεσημβριναὶ καὶ ἑσπεριναὶ βρονταί, ὑδατικὸν σημεῖον. ἀστραπαὶ δὲ ἐὰν γε πανταχόθεν γίνωνται, ὕδατος ἢ ἀνέμου σημεῖον καὶ ἑσπεριναὶ ὡσαύτως. καὶ ἐὰν ἀκροφείας νότου πνέοντος, νοτόθεν ἀστράψῃ, ὕδωρ σημαίνει ἢ ἄνεμον. καὶ ζέφυρος ἀστράπτων πρὸς βορέαν, ἢ χειμῶνα ἢ ὕδωρ σημαίνει. καὶ θέρους αἱ ἑσπεριναὶ ἀστραπαί, ὕδωρ αὐτίκα σημαίνουσιν ἢ τριῶν ἡμερῶν. καὶ ἀπὸ βορέου ἀστραπτῶν, ὑδατικὸν σημεῖον. ἡ δ' Εὐβοίας ὅταν δὲ ἀχωθῇ μέστη, ὕδωρ διὰ ταχέων. καὶ ἐὰν ἐπὶ τὸ Πήλιον νεφέλη προσίζῃ, ὅθεν ἂν προσίζῃ, ἐντεῦθεν ὕδωρ ἢ ἄνεμον σημαίνει. ὅταν ἴρις γένηται, ἐπισημαίνει. ἐάν τε πολλαὶ ἴριδες γένωνται, σημαίνει ὕδωρ ἐπὶ πολύ. ἀλλὰ πολλάκις καὶ οἱ ὀξεῖς ἥλιοι ὅταν ἐκ νεφελῶν. μύρμηκες ἐν κοίλῳ χωρίῳ ἐὰν τὰ ᾠὰ ἐκφέρωσιν ἐκ τῆς μυρμηκιᾶς ἐπὶ τὸ ὑψηλὸν χωρίον, ὕδωρ σημαίνουσιν. ἐὰν δὲ καταφέρωσιν, εὐδίαν. ἐὰν παρήλιοι δύο γένωνται καὶ ὁ μὲν νοτόθεν, ὁ δὲ βορράθεν. καὶ ἅλως ἅμα, ὕδωρ διὰ ταχέων σημαίνουσιν. καὶ αἱ μέλαιναι, ὑδατικόν. καὶ μᾶλλον αἱ δέ. ἐν τῷ καρκίνῳ δύο ἀστέρες εἰσὶν οἱ καλούμενοι ὄνοι, ὧν τὸ μεταξὺ τὸ νεφέλιον ἡ φάτνη καλουμένη. τοῦτο δὲ ἐὰν ζοφῶδες γένηται, ὑδατικόν. ἐὰν μὴ ἐπὶ κυνὶ ὑποσήμῃ ἐπὶ ἀργυρῷ ὡς ἐπὶ τὸ πολὺ περὶ ἰσημερίαν, ὕδωρ ἢ ἄνεμον. καὶ τὸ δημόσιον τὸ περὶ τῶν μυιῶν λεγόμενον ἀληθές. ὅταν δάκνωσι σφόδρα.

K

∴ ῥ. ν

πῖλος. i. πίλος ut facere sequenti & 265
Olla Scintillans
περὶ πόλεως
ἴουλοι
Delphin
Hymettus minor ἄνυδρος al. vocatus
Hymettus magnus
Libs ventus
Tonitrus
fulgura
Euboea
Pelio mons
Iris
formicę
Parhelij
Halos .i. corona
Coronę nigrę
Duę stellę vocati asini in signo cancri
Phatne .i. presepe
Muscę

In stellis grando aut miliu apparens



ὕδατος σημεῖον. περὶ μὲν φθινόπωρον ἕωθεν μὲν, ὕδωρ σημαίνει ἢ χειμῶνα· δείλης δὲ, ὕδωρ. τῆς δὲ νυκτὸς ὅταν τὸν Ὑμηττὸν κάτωθεν τῶν ἄκρων νεφέλαι διαζωννύωσιν ἡλωνικὴ καὶ μακρά, ὕδωρ γίνεται ὡς τὰ πολλά. μέχρι ἡμερῶν· καὶ ἐὰν ἐν Αἰγίνῃ ἐπὶ τοῦ Διὸς τοῦ Ἑλλανίου νεφέλη καθίζηται, ὡς τὰ πολλὰ ὕδωρ γίνεται. ἐὰν ὕδατα πολλὰ γίνηται χειμερινά, τὸ ἔαρ ὡς τὰ πολλὰ γίνεται αὐχμηρόν· ἐὰν δὲ αὐχμηρὸς ὁ χειμών, τὸ ἔαρ ὑδατῶδες. ὅταν χιόνες πολλαὶ γίνωνται, ὡς τὰ πολλὰ εὐετηρία γίνεται. φασὶ δέ τινες καὶ εἰ ἐν ἄστρασι λαμπρὰ χάλαζα ἐπιφαίνηται, χάλαζαν προσημαίνει ὡς τὰ πολλά. ἐὰν δὲ ὥσπερ κέγχροι μικροὶ λαμπροὶ πολλοί, ἀνέμου μὲν ὄντος ὕδωρ· μὴ ἀνέμου δὲ ὕδωρ ἢ ἄνεμον. ἔστι δὲ ἄνεμον πρῶτον γίνεσθαι βορείου, ὕδωρ νοτίου. καὶ τοῖς φυομένοις καὶ τοῖς ζώοις· δεῖ δὲ γλυκὺ εἶναι καὶ μὴ ἁλμυρὸν τοῖς γινομένοις. καὶ ὅλως ἐστὶ βέλτιον νοτίου βορείου καὶ ὑπηνοτέρου καὶ ὅταν ὀχεύωσι πρόβατα, ἢ αἶγες, χειμῶνος μακροῦ σημεῖον.

ἄστρος

Aegina

Hellanius iuppiter. Meminit huius Aristophanes in [?]

Niues multæ anni prouentum lætum portendunt

año de nieues año de bienes

Borealis aqua salubrior australi

Ouium & capraru frequens coitus. Ide & hieron in georgico

## ΠΕΡΙ ΣΗΜΕΙΩΝ ΑΝΕΜΩΝ

Ὕδατος μὲν οὖν ταῦτα λέγεται σημεῖα. ἀνέμου δὲ καὶ πνευμάτων τάδε. ἀνατέλλων ὁ ἥλιος καυματίζων (candens), κἂν μὴ ἀποστίλβῃ, ἀνεμῶδες τὸ σημεῖον. καὶ ἐὰν κοῖλος φαίνηται ὁ ἥλιος, ἀνέμου ἢ ὕδατος τὸ σημεῖον. καὶ ἐὰν ἐπὶ πολὺ ἡμέρας καυματίζῃ, αὐχμοῦ καὶ ἀνέμων πολυχρονίου σημαίνει. ἐὰν αἱ ἀκτῖνες, αἱ μὲν πρὸς βορρᾶν, αἱ δὲ πρὸς νότον σχίζωνται, τοῦ ἡλίου μέσου ὄντος κατ' ὀρθόν, κοινὸν ὕδατος καὶ ἀνέμου σημεῖόν ἐστιν. ἔστι δὲ σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ· τὰ μὲν μέλανα, ὕδατος· τὰ δὲ ἐρυθρά, πνευμάτων. ἐὰν δὲ ὁ μεὶς βορείου ὄντος ὀρθὸς ἑστήκῃ, ζέφυροι εἰώθασιν ἐπιπνεῖν, ὁ μὴν χειμερινὸς διατελεῖ. ὅταν μὲν ἡ κεραία τοῦ μηνὸς ἐπικύπτῃ, βόρειος ὁ μείς· ὅταν δὲ ἡ κάτωθεν, νότιος. ἐὰν δ' ὀρθὸς καὶ μὴ καλῶς ἐγκεκλιμένος μέχρι τετράδος καὶ ὁ κύκλος, ἕως ἂν χειμάζῃ μέχρι διχομηνίας σημαίνει. ζοφώδης μὲν ὢν ὕδωρ, πυρώδης δὲ πνεύματα. αἴθυιαι καὶ νῆτται πτερυγίζουσαι, αἱ ἄγριαι αἱ τιθασαί, ὕδωρ μὲν σημαίνουσι δυόμεναι, πτερυγίζουσαι δέ, ἄνεμον. οἱ κέπφοι ὅταν ἐξ εὐδίας οὔσης ὅποι ἂν πέτωνται ἄνεμον προσημαίνουσι. στρου-

Solis prognostica

Sol concauus

Sol candens

Solis radij

αἴθυιαι

νῆτται

κέπφοι

θοί



θοὶ χειμῶνος ἀφ' ἑσπέρας θορυβοῦντες, ἀνέμου μεταβολὴν σημαίνουσιν ἢ ὕδωρ. ὑέτιον ἐρωδιὸς ἀπὸ θαλάσσης πετόμενος καὶ βοῶν πνεύματος σημεῖόν ἐστι. καὶ ὅλως βοῶν μετὰ ἀνεμώδης. κύων κυλινδούμενος χαμαὶ μεγάλου ἀνέμου σημαίνει. ὁ ἄμπωτις βόρειον πνεῦμα σημαίνει, πλημμύρα δὲ νότιον. ἀράχνια πολλὰ φερόμενα πνεῦμα ἢ χειμῶνα σημαίνει. θάλασσα οἰδοῦσα καὶ ἀκταὶ βοῶσαι, καὶ αἰγιαλὸς ἠχῶν ἀνεμώδης. ἐὰν μὲν ἐκ βορέου πλημμύρα ἥκῃ, εἰς νότον μεταβάλλει· ἐὰν δὲ ἐκ νοτίου ἄμπωτις γίνηται, εἰς βορέαν μεταβάλλει. καὶ ὁ μὲν βορέας λήγων ἐλάττων, ὁ δὲ νότος ἀρχόμενος. παρήλιος ὁπόθεν ἂν ᾖ, ὕδωρ ἢ ἄνεμον σημαίνει. ἡ πέμπτη καὶ δεκάτη ἀπὸ τῆς τοῦ χειμερινοῦ ὡς τὰ πολλὰ νότιοι· βορέαι δὲ γινόμενοι ξηραίνουσι πάντα· νότοι δὲ ὑγραίνουσι. ἐὰν δὲ νότου ὄντος ψόφοι τοῦ κεκολλημένου, εἰς τὰ νότια σημαίνει τὴν μεταβολήν. ἐὰν δὲ πόδες οἰδῶσιν νοτία ἡ μεταβολή. τὸ δὲ αὐτὸ σημεῖον καὶ ἐκνεφίου καὶ ὀδάξων τῶν δεξιῶν. ἐχῖνος ὁ χερσαῖος σημαντικόν· ποιεῖται δὲ δύο ὀπὰς ὅπου ἂν οἰκῇ· τὴν μὲν πρὸς βορρᾶν, τὴν δὲ νότον. ὁπότερον δ' ἂν ἀποφράττῃ, ἐντεῦθεν πνεῦμα σημαίνει. ἐὰν δὲ ἀμφοτέρας, ἀνέμου μεγάλου. ἐὰν ὄρος πρὸς βορρᾶν, ἄνεμον προσημαίνει. ἐὰν ἐν θαλάττῃ ἐξαίφνης πνεύματος γαλήνη γίνεται, μεταβολὴ πνεύματος ἢ ἐπίδοσιν. ἐὰν ἄκραι μετέωροι φαίνωνται, ἢ αἱ νῆσοι ἐκ μιᾶς πλείους, νοτίου μεταβολὴν σημαίνει. ἥ τε μέλαινα βορέου ὑποφαινομένη, λευκὴ δὲ νότιον. αἱ ἅλωνες περὶ τὴν σελήνην πνευματώδεις μᾶλλον ἢ περὶ ἥλιον. σημαίνουσι δὲ πνεῦμα· ῥαγεῖσαι περὶ ἀμφοῖν ᾗ ἂν ῥαγῇ ταύτῃ πνεῦμα. ἐπὶ νεφέλαι ὅθεν ἂν ἀνατέλλῃ, ἐντεῦθεν ἄνεμον. αἱ κηλάδες νεφέλαι θέρους ἄνεμον σημαίνουσι. ἐὰν ἀστραπὴ πανταχόθεν γίνηται, ὕδωρ σημαίνει. καὶ ὅθεν ἂν αἱ ἀστραπαὶ [illegible] γίνωνται, ἐντεῦθεν πνεύματα γίνεται. θέρους ὅταν ἀστραπαὶ καὶ βρονταὶ γίνωνται, ἐντεῦθεν πνεύματα γίνεται ἰσχυρά. ἐὰν μὲν σφόδρα καὶ ἰσχυρὸς ἀστράπτῃ, θᾶττον καὶ σφοδρότερον πνεύσουσιν· ἐὰν δὲ ἠρέμα καὶ μανῶς, κατ' ὀλίγον. τοῦ δὲ χειμῶνος καὶ φθινοπώρου, τοὐναντίον· παύουσι γὰρ τὰ πνεύματα αἱ ἀστραπαί. καὶ ὅσῳ ἂν ἰσχυ-

Canis

Passeres

Erodius

ἄμπωτις

πλημμύρα

Arachnia uolitātia

Mare intumescens

Boreas desinēs minor ∴ notus autē incipiēs

Parhelius

Ecnephias

Echinus terrestris nota pro plimio

Promōtoria

Corone circa lunā

Concauæ nubes

Fulgura

Tonitrua

ῥότερον γίνωνται ἀστραπαὶ καὶ βρονταί, τοσούτῳ μᾶλλον πνεύσονται. τοῦ δὲ ἔαρος ἧττον αὐταῖ ταῦτα σημεῖα λέγω, ὥσπερ καὶ χειμῶνος. ἐὰν νότου πνέοντος, βορράθεν ἀστράπτῃ, παύεται. ἐὰν ἑῷος ἀστραπαῖος, εἴωθε παύεσθαι ξιταῖος. οἱ δὲ ἄλλοι πεμπταῖοι, ἑβδομαῖοι, ἐνναταῖοι. οἱ δὲ δείλινοι, ταχὺ παύονται. οἱ βορέαι παύονται ὡς ἐπὶ τὸ πολύ, ἐν περιτταῖς. οἱ δὲ νότιοι ἐν ἀρτίαις. ἄνεμοι αἴρονται ἅμα ἡλίῳ ἀνατέλλοντι καὶ σελήνῃ. ἐὰν ἀνατέλλων ὁ ἥλιος καὶ σελήνη παύσωσιν, ἐπιτείνει τὰ πνεύματα. ἐσχονιότερα δὲ καὶ ἰσχυρότερα τὰ πνεύματα γίνεται. τὰ ἡμέρας ἢ νυκτὸς ἀρχόμενα. ἐὰν ἐτησίαι πολὺν χρόνον πνεύσωσι, τὸ μετόπωρον γίνεται ἀνεμῶδες, ὁ χειμὼν νήνεμος γίνεται. ἐὰν δὲ ἐναντίως, καὶ ὁ χειμὼν ἐναντίως. πρὸς κορυφὴν ὄρους ἐὰν ὁρᾶται νεφέλη μηκώνη, ταύτῃ ἄνεμος πνευσεῖται. αἱ νεφέλαι ἐκ τοῦ ὄπισθεν προσίζουσαι, καὶ ὄπισθεν πνεύσουσι. μέσος διεζωσμένος νότιος. καὶ ὅλως τὰ ὄρη διεζωσμένα νότια ὡς τὰ πολλά. οἱ κομῆται ἀστέρες ὡς τὰ πολλά, πνεύματα σημαίνουσιν. ἐὰν δὲ πολλοί, καὶ αὐχμόν. μετὰ χιόνα νότος. μετὰ πάχνην, βορέας εἰώθασι πνεῖν. μύκητες ἐπὶ λύχνου, νότιον πνεῦμα, ἢ ὕδωρ σημαίνουσιν. αἱ δὲ στάσεις τῶν πνευμάτων, οὕτως ἔχουσιν, ὡς ἐν τῷ γράμματι διώρισται. τῶν δὲ ἀνέμων ἐπὶ πνέουσι τοῖς ἄλλοις ἐπιπίπτουσι μάλιστα, ἀπαρκτίας. θρακίας. ἀργέστης. ὅταν δὲ μὴ ὑπ᾽ ἀλλήλων διαλύωνται τὰ πνεύματα, ἀλλὰ αὐτὰ καταμαρανθῶσιν μεταβάλλουσιν εἰς τοὺς ἐχομένους ἐπὶ δεξιά. ὥσπερ ἡ τοῦ ἡλίου ἔχει φορά. ὁ νότος ἀρχόμενος, ξηρός. τελευτῶν δὲ, ὑγρός. ὁ λὶψ ὁ δὲ ἀπηλιώτης, ἀπὸ ἀνατολῆς ἰσημερινῆς ὑδατώδης. διὰ λεπτῶν δὲ ἄγει τὰ ὕδατα. ὑγροὶ δὲ μάλιστα ὅ, τε καικίας καὶ λίψ. χαλαζώδης δὲ ἀπαρκτίας. καὶ θρακίας καὶ ἀργέστης. νιφετώδης δὲ ὅ, τε μέσης. ὁ βορέας καὶ ἀπαρκτίας. καυματώδης δὲ, νότος καὶ ζέφυρος καὶ εὖρος. οἱ μὲν, οἷς ἂν ἐκ πελάγους προσπίπτωσιν. οἱ δὲ οἷς ἐὰν διὰ γῆς. δασύνουσι τὸν οὐρανὸν νέφεσι. καὶ καλύπτουσι καικίας μάλιστα εἶτα λίψ. καὶ οἱ μὲν ἄλλοι ἄνεμοι ἀφ᾽ ἑαυτῶν τὰ νέφη ὠθοῦσι. καικίας δὲ μόνος πρὸς ἑαυτόν. αἴθριοι δὲ μάλιστα θρακίας καὶ ἀργέστης. καὶ τῶν λοιπῶν ἀπαρκτίας. ἐκνεφίαι

δὲ

Etesiæ

Cometæ

Fungi in lucerna

Ventorum qualitates & effectus



δὲ μάλιστα, ὅ, τε ἀπαρκτίας καὶ ὁ θρακίας καὶ ὁ ἀργέστης. γίνονται δὲ ἐκνεφίαι ὅταν εἰς ἀλλήλους ἐμπίπτωσι πνέοντες, μάλιστα μὲν μετοπώρου. τοῦ δὲ λοιποῦ ἔαρος. ἀστραπαῖος δὲ θρακίας καὶ ἀργέστης καὶ ἀπαρκτίας καὶ μέσης. ἐὰν ἐν τῇ θαλάσσῃ πάπποι φέρωνται πολλοί, οἱ γινόμενοι ἀπὸ τῶν ἀκανθῶν, ἀνέμους σημαίνουσιν ἔσεσθαι μέγαν. ὅθεν ἂν ἀστέρες διάττωσι πολλοί, ἄνεμον ἐντεῦθεν. ἐὰν δὲ πανταχόθεν, ὁμοίως πολλὰ πνεύματα σημαίνουσι. πνευμάτων μὲν οὖν σημεῖα ταῦτα.

## ΠΕΡΙ ΣΗΜΕΙΩΝ ΧΕΙΜΩΝΟΣ

Χειμῶνος δὲ, τάδε. ἥλιος δυόμενος εἰς μὴ καθαρόν. καὶ ὡς ἂν μερισθῇ δυόμενος, οὕτως αἱ ἡμέραι ἐπιτελοῦνται. οἷον εἰ τὸ τρίτον μέρος ἀπολειφθῇ, ἢ τὸ ἥμισυ σεληνίου ἐὰν ὀρθὸν ᾖ, μέχρι τετράδος, καὶ εἰ ἐγκύκλιον, χειμάσει μέχρι διχοτόμου. γερανοὶ ἐὰν πρωῒ πέτωνται καὶ ἀθρόοι, πρωῒ χειμάσει. ἐὰν δὲ ὀψὲ καὶ πολὺν χρόνον, ὀψὲ χειμάσει. καὶ ἐὰν ἀποστραφῶσι πετόμενοι, χειμῶνα σημαίνουσι. χῆνες βοῶντες μᾶλλον ἢ περὶ σίτου μαχόμενοι, χειμέριον. σπίνος. στροῦθος, σπίζων ἕωθεν χειμέριον. ὀρχίλος ὡς εἰσιὼν καὶ εἰσδυόμενος εἰς ὀπὰς χειμῶνα σημαίνουσι, καὶ ἐριθεὺς ὡσαύτως. κορώνη ἐὰν ταχὺ δὶς κρώζῃ καὶ ἐξῆς χειμερία. καὶ κορώνη, καὶ κόραξ. καὶ κολοιὸς ὀψὲ ᾄδοντες, χειμέριοι. στροῦθος ἐὰν λευκός, ἢ χελιδὼν ἢ ἄλλο τι τῶν μὴ εἰωθότων λευκῶν, χειμῶνα μέγαν σημαίνουσιν ὥσπερ καὶ μέλανα. ἐὰν πολλοὶ φανῶσιν ὕδωρ. καὶ ἐὰν ἐκ πελάγους ὄρνιθες φεύγωσι, χειμῶνα σημαίνουσι. καὶ σπίνος, ἐὰν οἰκίᾳ οἰκουμένῃ φθεγγόμενος, χειμέριον. ὅσα ὕδωρ σημαίνει, χειμῶνα ἄγει. ἐὰν μὴ ὕδωρ χιόνα καὶ χειμῶνα. κόραξ φωνὰς πολλὰς μεταβάλλων, χειμῶνα. χειμέριοι κολοιοὶ ἐκ τοῦ νότου πετόμενοι, καὶ τευθίδες, χειμέριαι. φωνὴ ἐν λιμνῶι ἀποψοφοῦσα καὶ πολύποδον ἔχουσα, χειμέριον. καὶ οἱ πνεύμονες οἱ θαλάττιοι ἐὰν πολλοὶ φαίνωνται ἐν τῷ πελάγει χειμερινοῦ ἔτους σημεῖον. πρόβατα ἐὰν πρωῒ ὀχεύηται πρώϊον χειμῶνα σημαίνουσι. μετοπώρῳ ἐὰν πρόβατα ἢ βόες ὀρύττωσι, καὶ κοιμῶνται ἀθρόοι πρὸς ἀλλήλοις ἔχοντες τὰς κεφαλὰς, τὸν χειμῶνα χειμέριον σημαίνει.

Ecnephiæ a quibus potissimum uentis

Meses uentus

πάπποι

Stellæ discurrentes

Grues

Anseres

σπῖνος

Orchilos ὀρχίλος

ἐριθεύς

Cornix

Coruus

Monedula

Passer

σπῖνος

Coruus

Τευθίδες Loligines

πνεύμονες θαλάττιοι

Oues coeuntes

ἐν δὲ τῷ πόντῳ φασὶν ὅταν ἀρκτοῦρος ἀνατέλλῃ θᾶττον ἐναν-
τίως τῷ βορρᾶ ἀνέμῳ, βόες μᾶλλον ἐσθίοντες τοῦ εἰωθότος, καὶ
ἐπὶ τὸ δεξιὸν κατακλινόμενοι, χειμέριον. καὶ ὅταν κερῶν ὄ-
νος, χειμέριον. καὶ μαχόμενα πρόβατα καὶ ὄρνιθες περὶ σί-
του παρὰ τὸ ἔθος προπαρασκευάζονται γάρ. καὶ μύες τρίζον-
τες καὶ ὀρχούμενοι, χειμέριον. καὶ κύων τοῖς ποσὶν ὀρύττουσα
καὶ ὀλολύγων ἄδουσα μόνη ἀκρωρείας, χειμέριον. γῆς ἔντερα
πολλὰ φαινόμενα, χειμῶνα σημαίνει. καὶ ἐὰν πυρῶν μὴ θέλῃ σκε-
δάννυσθαι, χειμέριον. καὶ ἐὰν λύχνος ἅπτεσθαι μὴ ἐθέλῃ, χειμῶνα
σημαίνει. καὶ τέφρα πηγνυμένη νιφετόν. λυχνίας, ὥσπερ κέγ-
χρος καιόμενος, χειμῶνα σημαίνει. καὶ ἐὰν χειμῶνος ὄντος μύκαι
μέλαιναι ἐπιγίνωνται, χειμῶνα σημαίνει. καὶ ἐὰν ὥσπερ κέγ-
χροις πολλοῖς κατάπλεως ᾖ, χειμερίσει. καὶ ἐὰν κύκλῳ περὶ τὸ
λαμπρὸν ὥσπερ εὐδίας οὔσης χιονικὸν ᾖ, καὶ τοῦ ὄνου φάτνη εἰ συ-
νίσταται καὶ ζοφερὰ γίνεται, χειμῶνα σημαίνει. καὶ ἐὰν ἀστραπαὶ
λαμπραὶ μὴ ἐν τῷ αὐτῷ μένωσι, χειμέριον. ἐπὶ πλειάδι δυομένῃ καὶ
ἐὰν λάμψῃ πάρνηθα, καὶ βριλήττιον, καὶ ὑμηττόν, ἐὰν μὲν ἅπαν-
τα καταλάμψῃ, μέγαν χειμῶνα σημαίνει. ἐὰν δὲ τὰ δύο, ἐλάττω.
ἐὰν δὲ πάρνηθα μόνον, εὐδιεινόν. καὶ ἐὰν χειμῶνος ὄντος νεφέλη
μακρὰ ἐπὶ τὸν ὑμηττὸν ᾖ, χειμῶνος ἐπίτασιν σημαίνει. καὶ ἄθως
καὶ ὄλυμπος καὶ ὅλως ὀρέων κορυφαὶ κατεχόμεναι ὑπὸ νεφελῶν,
χειμέριον. ἐὰν εὐδίας γινομένης νεφέλιον φαίνηται ἐν τῷ ἀέ-
ρι παρατεταμένον καὶ πιλούμενον, ἔσω ποιεῖ τὸ χειμών. ἐὰν τὸ
μετόπωρον εὐδιεινὸν παρὰ τὸ εἰκὸς γένηται, τὸ ἔαρ γίνεται ψυχρὸν ὡς τὰ πολ-
λά. ἐὰν πρωῒ χειμάζειν ἄρξηται, πρωῒ παύεται, τὸ δὲ ἔαρ καλόν. ἐὰν
δὲ τοὐναντίον, τὸ δὲ ἐξ οὐ γίνεται. ἐὰν χειμὼν ὑέτιος, τὸ ἔαρ αὐχμη-
ρόν. ἐὰν δὲ αὐχμηρὸς ὁ χειμών, τὸ ἔαρ καλόν. ἐὰν ἡ σκωρία γίνεται
πυκνῆς, τὰ πολλὰ γίνεται τοῦ προσκαίρου λιμοῦ. ἐὰν τὸ ἔαρ καὶ τὸ θέρος ψυ-
χρὸν γίνηται, ἡ τε ὀπώρα γίνεται, ὁ μετόπωρον πνιγηρὸν καὶ ἀνεμώδες.
οἱ πρῖνοι ἐὰν εὐκαρπῶσι, χειμῶνες πολλοὶ σφόδρα γίνονται. ἐὰν ἐπὶ κο-

ρυφῆς

Arcturus
Boues
Asinus
Mures
Canis
Vlula ὀλολυγών
Terre intestina
Lucerna
Cinis
Fungi
Presepe asini stellus
Pliadis occasus
Parnes
Brilettus
Hymettus
Mōtes
Athos
Olympus
Scoria
Prini .i. ilices



ρυφῆς ὄρους νέφος ὀρθὸν ᾖ, χειμῶνα σημαίνει. ὅθεν καὶ ἀρχίλοχος
ἐποίησε, γλαῦχ᾽ ὅρα· βαθὺς γὰρ ἤδη κύμασι ταράσσεται πόντος, ἀμ-
φὶ δὲ ἄκρας ὀρθὸν ἵσταται νέφος. ὅπερ ἐστὶ σημεῖον χειμῶνος. ἐὰν ὁ πό-
μοχλος ὑμένι λευκῷ χειμέριον. ὅταν μέσων τῶν νεφῶν ἕτερα ὑποφέ-
ρηται, τὰ δὲ ἠρεμῇ, χειμέρια. ἐὰν χειμῶνος διαλάμψαντος πά-
λιν ἀποκρυφθῇ, καὶ τοῦτο τρίτον δίς, ἢ τρίς, ἡμέρα χειμερία δύεσιν ὅτε
ἑρμοῦ ἀστὴρ χειμῶνος μὲν φαινόμενος, ψύχη σημαίνει. θέρους δὲ καύ-
ματα. ὅτε μέλιτται μὴ ἀποπέτωνται μακρὰν ἀλλ᾽ αὐτοῦ ἐν τῇ
εὐδίᾳ πέτωνται, χειμῶνα ἐσόμενον σημαίνει. λύκου ὠρυομένου, χει-
μῶνα σημαίνει. λύκος ἐστὶν ἡμέρου ὅταν πρὸς τὰ ἔργα ὁρμᾷ ἢ εἴσω.
χειμῶνος ὥρα ἢ χειμῶνα σημαίνει εὐθύς. ἔστι δὲ σημεῖον χειμῶνος
μεγάλου, ἢ ὄμβρου. καὶ ὅταν γίνωνται ἐν τῷ μετοπώρῳ πολλοὶ σφῆ-
κες. καὶ ὅτε ὄρνιθες λευκοὶ πρὸς τὰ ἐργάσιμα πλησιάζωσι, καὶ ὅλως
τὰ ἄγρια θηρία. ἐὰν πρὸ τὰ ἐργάσιμα, βορέαι καὶ χειμῶνος μέγεθος
σημαίνει. τὸ δὲ πάρνηθος, ἐὰν τὰ πρὸς ζέφυρον ἄνεμον καὶ τὰ πρὸς
φύλης φράττηται νέφεσι βορεαζόντων, χειμέριον τὸ σημεῖον.
ὅταν πρίσις γίνηται τὰ πολλὰ ἰσχυρῶς, αὐταποδιδῶσι, καὶ γί-
νεται χειμὼν ἰσχυρός. ἐὰν ὕδατα ἐαρινὰ πολλὰ γένηται, καύμα-
τα ἰσχυρὰ ἐν τοῖς πεδινοῖς καὶ κοίλοις γίνεται. δεῖ δὲ τὴν ἀρχὴν
ὁρᾶν. ἐὰν τὸ μετόπωρον εὐδιεινὸν γίνηται σφόδρα, ἔαρ ὡς τὰ πολ-
λὰ γίνεται ψυχρόν. ἐὰν δὲ τὸ ἔαρ ὄψιον γένηται καὶ ψυχρόν, ἡ ὀπώ-
ρα ὀψία γίνεται, καὶ μετόπωρον ὡς τὰ πολλὰ πνιγηρόν. οἱ πρῖνοι
ὅταν εὐκαρπῶσι σφόδρα ὡς μὲν τὰ πολλὰ χειμῶνα ἰσχυρὸν
σημαίνουσιν. ἐνίοτε δὲ καὶ αὐχμούς φασι γίνεσθαι. ἐάν τις στά-
κα λαβὼν ὑποπάσας ἄργιλον εἰς πιθάκνην θῇ, σημαίνει ταῖς
φωναῖς, ἃς ἀφίησιν ἄνεμον, καὶ εὐδίαν. καὶ τὸ πανταχοῦ δὲ
λεγόμενον σημεῖον δημόσιον χειμέριον, ὅταν μύες περὶ φορυ-
τοῦ μάχωνται καὶ φέρωσιν.

## ΠΕΡΙ ΕΥΔΙΑΣ ΣΗΜΕΙΩΝ:~

Εὐδίας δὲ σημεῖα τάδε. ἥλιος μὲν ἐμίων λαμπρὸς καὶ μὴ καῦμα

Archilochus
Mercurij stella
Apes
Lupus
Vespe
Aues candicant[es]
fere
Parnes
Prini .i. ilices
στάκα
ἄργιλον
πιθάκνη
Mures

[illegible]

ὁ μὲς [illegible]

Asini praesepe

χηλάδες

Olympos

Athos

Grues

Noctua

Noctua marina

Coruus

Cornix

Orchilus

Oues

Bos

Canis

Cicadae multae

Lucerna

~~[illegible] fructus~~

Lentisci fructus ostendit arationis tempora. plin. 18

.: corrige σχίνου l. lentisci et plinio libro 18 et Cicero



[illegible]

ἀμφίκυρτος ἡ σελήνη

Ε[illegible]

χάμψαι [illegible] aegyptii vocant

ἈΝΕΜΩΝ θέσεις καὶ προσηγορίαι ἐκ τῶν ἀριστοτέλους περὶ σημείων — Aristoteles de signis

[illegible]

Mallos

Pagrei

Pagrica fontes

Caunus

Meses

Caunias

Rhodus

Acarnia portus

Olbia

Mygalus pamphyliae

Gaurei

Gauris insula

Lyrnatenses

Phaselis

Caecias

Thebanas

Thebes campus

Claziaticus Sinus myrsig

Malois

Tripolis phoeniciae

Potameus & unde

Libanus

Baprytus mons

Posidonium

[illegible] sinus

Rossos
Syriandus
Syriæ portæ
Trypoliticus sinus
Marseus uentus
Marsos uicus
Proconnesus
Teos
Hellespontias
Caphareus euboeæ
Cyrenæ portus uocatus
Apollonia
Berecyntias
Cataporthmias
Thebanas
Aegæ
Scopeleus
Rosij
Rhosiorū scopulus
Carbas
Carbani
Phoenicias
Orthonotus
Eurus
Amneus
Notos ~~ἀπὸ~~ ἀπὸ
τῆς νόσου dictus ſ mutata σ in τ
Leuconotus unde dictus
Libs unde
Zephyrus unde
Iapyx
Scytelinus
Scylantinus
Pharangites
Peggæi
Thracias
Strymonias
Strymō
Sciρrrhō
Sciρrhonides petræ
Circas
Olympias

περὶ ῥῶσσον συριανδός· πνεῖ δὲ ἀπὸ τῶν συρίων πυλῶν. ἀσδιέστηκεν ὅ,τε ταῦρος καὶ ταυρόσια ὄρη. ἐν δὲ τῷ τριπολιτικῷ κόλπῳ ὁ μαρσεὺς ἀπὸ μάρσου κώμης. ἐν δὲ προκοννήσῳ, καὶ ἐν τήῳ καὶ ἐν κρήτῃ, καὶ εὐβοίᾳ, καὶ κυρήνῃ, ἑλλησποντίας. μάλιστα δὲ ἐνοχλεῖ περὶ τὰς τῆς εὐβοίας καφηρέας. καὶ τὸν κυρηναίων λιμένα, ἀκαλούμενον δὲ ἀπολλωνίαν. πνεῖ δὲ ἀφ' ἑλλησπόντου. ἐν δὲ σινώπῃ βερεκυντίας. ἀπὸ τῶν κατὰ φρυγίαν τόπων πνεῖ. ἐν δὲ σικελίᾳ, καταπορθμίας πνέων ἀπὸ τοῦ πορθμοῦ. τινὲς δὲ αὐτὸν, καικίαν οἴονται εἶναι. θηβαῖον προσαγορεύοντες:~ Εὖρος. οὗτος ἐν μὲν αἰγαῖς ταῖς κατὰ συρίαν, σκοπελεὺς καλεῖται ἀπὸ τοῦ ἑῴου σκοπέλου. ἐν δὲ κυρήνῃ, καρβᾶς. ἀπὸ τῶν καρβανῶν τῶν κατὰ φοινίκην. διὸ καὶ τὸν αὐτὸν φοινικίαν καλοῦσί τινες. εἰσὶ δὲ οἳ καὶ ἀπηλιώτην νομίζουσιν εἶναι. ὀρθόνοτον τοῦτον οἱ μὲν, εὖρον. οἱ δὲ ἀμνέα προσαγορεύουσι. νότος δὲ ὁμοίως παρὰ πᾶσι καλεῖται. τὸ δὲ ὄνομα διὰ τὸ νοσώδη εἶναι. ἔξω δὲ κάτομβρον. κατ' ἀμφότερα δὲ νότον. λευκόνοτος. τὸ δὲ ὄνομα ἀπὸ τοῦ συμβαίνοντος. λευκαίνεται γάρ.

Λὶψ καὶ οὗτος τὸ ὄνομα ἀπὸ λιβύης, ὅθεν πνεῖ:~ Ζέφυρος. καὶ οὗτος τὸ δὲ τὸ ὄνομα διὰ τὸ ἀφ' ἑσπέρας πνεῖν. ἡ δὲ ἑσπέρα ἰάπυξ οὗτος ἐν τάραντι:~ Σκυτηλῖνος ἀπὸ χωρίου σκυλαντίμου. κατὰ δὲ ὀραλεὸν τὸ φρυγίας. ὑπὸ δέ τινων· φαραγγίτης. πνεῖ γὰρ ἔκ τινος φάραγγος τῶν κατὰ τὸ πάγγαιον. παρὰ πολλοῖς δὲ ἀργέστης:~ Θρακίας κατὰ μὲν θρᾴκην, στρυμονίας. πνεῖ γὰρ ἀπὸ τοῦ στρυμόνος ποταμοῦ. κατὰ δὲ τὴν μεγαρικὴν σκίρρων ἀπὸ τῶν σκιρρωνίδων πετρῶν. ἐν δὲ ἰταλίᾳ καὶ σικελίᾳ κίρκας. διὰ τὸ πνεῖν ἀπὸ τοῦ κιρκαίου. ἐν δὲ εὐβοίᾳ καὶ λέσβῳ ὀλυμπίας. τὸ δὲ ὄνομα ἀπὸ τοῦ πιερικοῦ ὀλύμπου. ὀχλεῖ δὲ πυραίους. ὑπογέγραφα δέ σοι καὶ τὰς θέσεις αὐτῶν, ὡς κεῖνται, καὶ πνέουσιν. ὑπογράψας τὸν τῆς γῆς κύκλον. ἵνα καὶ πρὸ ὀφθαλμῶν σοι τιθῶσι:~ ~:~:~:~:~

## :~ΤΕΛΟΣ ΤΩΝ ἈΝΕΜΩΝ ΠΡΟΣΗΓΟΡΙΩΝ:~

Circæi
Olympias unde
Pyræi



Ἅπαντα τετράδιά ἐστι πλὴν τοῦ ✱. καὶ ·C Γ· καὶ K. ἐκεῖνα δὲ τριάδια.

Sunt omnes Quaterni exceptis. ✱ & C Γ & K. illi .n. terni.

Ἐγράφη ἐν ἐνετίαις τῇ καλλιτεχνίᾳ χειρὶ ἐν οἰκίᾳ Ἄλδου τοῦ Μανουτίου ῥωμαίου καὶ φιλέλληνος. θαργηλιῶνος φθίνοντος.
·Χ·ΗΗΗΗ𐅄ΔΔΔΔΠΙΙ·α·υ·ϟζ·

Excriptum Venetiis manu ſtamnea ĩ domo Aldi manutii Romani, & græcorum ſtudioſi. Menſe Februario. M.III D.

Impetratũeſt a dominis Venetis idẽ in hoc quod in cæteris impreſſis græce domi noſtræ.

GR· PHYSICI· AR·

politzano fernando alvarez

[illegible] de [illegible] hasta [illegible]
que [illegible] [illegible]
[illegible] a [illegible] de mayo
que al primero [illegible] de [illegible]
a [illegible] de junio [illegible]
[illegible]

el [illegible] de [illegible] [illegible]
a [illegible] de junio
[illegible] [illegible] desde
el [illegible] jueves
por la mañana

que [illegible] [illegible]
desde viernes [illegible]
del mes de mayo